ιβ'. Πόθεν μου τὴν ψυχὴν κατέλαβες; ἢ δῆλον ὅτι ἀπὸ τῶν ὀμμάτων, ἀφ' ὧν μόνων κάλλος ἐσέρχεται; ὥσπερ γὰρ τὰς ἀκροπόλεις οἱ τύραννοι καὶ τὰ ἐρυμνὰ οἱ βασιλεῖς καὶ τὰ ὑψηλὰ οἱ ἀετοὶ καταλαμβάνουσιν, οὕτω καὶ ὁ ἔρως τὴν τῶν ὀφθαλμῶν ἀκρόπολιν, ἣν οὐ ξύλοις, οὐδὲ πλίνθοις, ἀλλὰ μόνοις βλεφάροις τειχίσας ἡσυχῇ καὶ κατὰ μικρὸν ἐς τὴν ψυχὴν ἐσδύεται, ταχέως μέν, ὡς πτηνός, ἐλευθέρως δέ, ὡς γυμνός, ἀμάχως δέ, ὡς τοξότης. τὰ δὲ ὄμματα, ἐπεὶ πρῶτα συνίησι κάλλους, διὰ τοῦτο μάλιστα καὶ κάεται, θεοῦ τινος, οἶμαι, θελήσαντος αὐτοῖς τὴν αὐτὴν ὁδὸν καὶ τῆς ἐς τὸ βλέπειν ἡδονῆς εἶναι καὶ τῆς ἐς τὸ λυπεῖσθαι προφάσεως. τί γάρ, ὦ κακοὶ δᾳδοῦχοι ἔρωτος καὶ τῆς τῶν σωμάτων ὥρας περίεργοι μάρτυρες πρῶτοι μὲν τὸ κάλλος ἡμῖν ἐπυρσεύσατε, πρῶτοι δὲ μνησθῆναι τὴν ψυχὴν ἐποιήσατε τῆς ἔξωθεν ἐπιρροῆς, πρῶτοι δὲ ἐβιάσασθε τὸν ἥλιον καταλιπόντα πῦρ ἀλλότριον ἐπαινεῖν; τοιγαροῦν ἀγρυπνεῖτε καὶ κάεσθε, ἀπαλλαγὴν ὧν εἵλεσθε εὑρεῖν μὴ δυνάμενοι.

ιγ'. Ὁ καλὸς ἂν μὲν ᾖ θηριώδης, πῦρ ἐστιν, ἂν δὲ ἥμερος, φῶς· μὴ κᾷε οὖν, ἀλλὰ σῶζε καὶ τὸν Ἐλέου βωμὸν ἐν τῇ ψυχῇ ἔχε ἀντιλαβὼν βέβαιον φίλον ὠκυμόρου δωρεᾶς καὶ φθάσας τὸν χρόνον, ὃς μόνος καταλύει τοὺς καλούς, ὥσπερ οἱ δημοτικοὶ τοὺς τυράννους. ὡς δέδοικά γε — ὃ φρονῶ γὰρ εἰρήσεται — μὴ μέλλοντός σου καὶ βραδύνοντος, τὰ γήνεια ἐπέλθῃ καὶ τὴν τοῦ πρόσωπου συσκιάσῃ χάριν, ὥσπερ εἴωθε τὸν ἥλιον κρύπτειν ἡ νεφῶν συσκευή. τί δέδοικα, ἅπερ ἐστὶν ἤδη βλέπειν; ἕρπει μὲν ὁ ἴουλος, αἱ δὲ παρειαὶ χλοάζουσι, τὸ δὲ πρόσωπον ὅλον ἀνθεῖ. πρὶν οὖν σου τὸ ἔαρ ἀπελθεῖν ὅλον καὶ χειμῶνα ἐπιστῆναι, δὸς αὐτοῦ πρὸς Ἔρωτος, πρὸς τούτων τῶν γενείων, ἃ δεῖ με αὔριον ὀμνύναι.

ιβ'. Πόθεν μου – καὶ κάεσθε καὶ λογίζεσθε ἀπαλλαγὴν ὧν εἵλεσθε εὑρεῖν μὴ δυνάμενοι. μακαρίων, ὦ θεοί, τῶν ἐκ γενετῆς τυφλῶν, ἐφ' οὓς ἔρως ὁδὸν οὐκ ἔχει.

ιγ'. Ὁ καλὸς – ἀνθεῖ. φεῦ· μέλλοντες ἐγηράσαμεν, σὺ μὲν θᾶττον εἰκάσαι μὴ θελήσας, ἐγὼ δὲ ὀκνήσας δεηθῆναι. πρὶν – ὀμνύναι.

1. φλογίζεσθε Jac. ad Anth. Gr. 1, 20. ib. μακαρίων ωνῶ θεοί (sic). ψ.
3. εἶξαι. m, o.

---

1. πρόσώπω. b (sic). ib. μέχρι add. p ex corr. ib. καὶ εἴ τίς. π. 2. αἰτῶ. 1, B. αἰτῶν. 2, E. 3. κομίζει. R, r, π et p ante corr. ib. ἐκ τοῦ ποτ. p. ib. λαμβάνοι. R, r, π et p ante corr. ib. τὸ ὕδωρ ὑπὸ ἔρωτος. R, r, π. τὸ ὕδωρ ὑπὸ τοῦ ἔρωτος. p. ὑπὸ ἔρωτος τὸ ὕδωρ. 2, E. ὑπὸ τοῦ ἔρωτος τὸ ὕδωρ. B. ib. καίεται. C. κάεται. EB.

XII. τῷ αὐτῷ. R, r. μειρακίῳ. uβ. γυναικί. 2, EB.

4. δηλονότι. ς. δῆλον ὅτι. p, B. ib. μόνων — τύραννοι om. ψ, e. 5. ὥσπερ γὰρ. R, r. ὡς γὰρ. p. ὥσπερ. ρ, o. 6. ἀετοί. 1, B. θεοί. 2, E. ib. ἦν om. E. 7. μόνον. p ib. ἐς om. 2. E. ib. τὴν ψυχὴν om. o. 8. ἐλεύθερος — ἄμαχος. 2, E. ib. ἐπεὶ πρῶτα δι' αὐτῶν εἴσεισι τὸ κάλλος. p. ib. τοῦ κάλλους. B. 9. αὐτοῖς om. R. ib. καίεται. r, p. 11. τῆς τῶν. R, r, B. τῆς. ς. ib. δᾳδοῦχοι, ἔρωτος. sic interp. E ante B. 12. μνησθῆναι. 1, B. μεμνῆσθαι. ς. ib. ἐποιήσατε. R, r. ἐδιδάξατε. ς. ib. καταλιπόντα. R, r, B. καταλιποῦσι. ς. 13. τὸ παῦον τὴν πυρπόλησιν εὑρεῖν οὐ δυνάμενοι. p in mg.

XIII. τῷ αὐτῷ. R, r, π, c. μειρακίῳ. uβ, 2, EB.

17. πολλοὺς. R, r, π, c. 18. μέλοντος. ρ. ib. ἐπέλθοι. p. 19. συσκιάσῃ. R, r, π, c, B. συσκιάσει. p. συσκιάσωσι. 2, E. ib. νεφῶν συσκευή. 1. νεφῶν συνδρομή. 2, EB. 20. μὲν ἤδη. p. ib. χλοάζουσι. 1. χνοάζουσι. 2, EB. ib. πλὴν οὖν. R, r, π. 21. αὐτοῦ. r, π. αὐτῷ. R. ib. πρὸς τοῦ Ἔρωτος. 1, B. πρὸς Ἔρωτος. 2, E.

ιδ'. Χαῖρε, κἂν μὴ θέλῃς, χαῖρε, κἂν μὴ γράφῃς, ἄλλοις καλέ, ἐμοὶ δὲ ὑπερήφανε. οὐκ ἦσθα συγκείμενος ἐκ σαρκὸς ..... καὶ τῶν, ὅσα τούτοις κίρναται, ἀλλὰ ἐξ ἀδάμαντος καὶ πέτρας καὶ Στυγός. ταχέως σε θεασαίμην γενειῶντα καὶ παρ' ἀλλοτρίαις θύραις κείμενον. ναὶ Ἔρως, ναὶ Νέμεσις ὀξεῖς θεοὶ καὶ στρεφόμενοι.

ιε'. Τί μοι τὰ γένεια, ὦ παιδίον, δεικνύεις; οὐ παύῃ κάλλους, ἀλλ' ἄρχῃ, τὸ μὲν γὰρ ὀξὺ τῆς ὥρας παρελήλυθεν, ὅσον τι πτηνὸν καὶ ἄπιστον, τὸ δὲ ἑδραῖον καὶ βέβαιον μένει. χρόνος δὲ οὐκ ἐλέγχει τοὺς ἀληθῶς καλούς, ἀλλὰ δεικνύει καὶ μαρτυρεῖ μᾶλλον αὐτοῖς ἢ φθονεῖ. τὸν δὲ ὑπηνήτην καὶ Ὅμηρος λέγει χαριέστατον ὁ ποιητὴς εἰδὼς κάλλος καὶ βλέπειν καὶ ποιεῖν. οὐκ ἂν δήποτε τοῦτο ἀπεφήνατο, εἰ μὴ πρῶτος αὐτὸς ἐρωμένου καὶ ἥψατο γενείων καὶ ἐφίλησε. πρὶν μὲν γὰρ ἀνθεῖν, οὐδὲν ἀπεῖχον γυναικὸς αἱ σαὶ παρειαὶ οὖσαι ἁπαλαί τε καὶ διαυγεῖς, ὅτε δὲ καὶ ἤδη χλοάζεις, ἀνδρικώτερος εἶ σεαυτοῦ καὶ τελεώτερος. ἀλλὰ τί; ἤθελες μηδὲ εὐνούχων διαφέρειν, οἷς τὰ γένεια ἄκαρπα καὶ σκληρὰ καὶ λίθοις ὅμοια; αἰσχύνονται γοῦν οἱ ἀλιτήριοι ταύτῃ τῇ τομῇ μᾶλλον ἢ ἐκείνῃ, τὴν μὲν ἀπόρρητον νομίζοντες, τὴν δὲ σαφέστατον ἔλεγχον τῆς ὄψεως.

ις'. Οὐδὲ ὁ τοῦ Μενάνδρου Πολέμων καλὸν μειράκιον περιέκειρεν, ἀλλ' αἰχμαλώτου μὲν ἐρωμένης κατετόλμησεν ὀργισθείς, ἣν οὐδὲ αὐτὴν ἀποκείρας ἠνέσχετο — κλαίει γοῦν καταπεσὼν καὶ μεταγιγνώσκει τῷ φόνῳ τῶν τριχῶν — ἐφήβου δὲ ἄρα ἐφείσατο καὶ τὸ δρᾶμα, σὺ δὲ οὐκ οἶδα τί παθὼν σεαυτῷ πεπολέμηκας, ὦ ἀνδροφόνε τῆς κεφαλῆς. τί ἔδει μαχαιρῶν ἐπὶ τὰς τρίχας; τί δὲ ἐκουσίων καὶ πολλῶν τραυμάτων; οἷον θέρος ἐξέκοψας. οὐδὲ οἱ ποιηταί σε ἐπαίδευσαν τοὺς Εὐφόρβους καὶ τοὺς Μενελάους κομῶντας ἐσάγοντες καὶ ὅλον τὸ Ἀχαιῶν στρατόπεδον; καὶ εἴ τις αὐτοῖς καλὸς ποταμός, κομᾷ, ὡς γὰρ χρυσὸς ἀνάθημα καὶ ἄργυρος, οὕτως καὶ τρίχες. κομῶσιν οἱ μὲν βάρβαροι πίλοις, οἱ δὲ Ἕλληνες κράνεσιν, οἱ δὲ ὀφθαλμοὶ βλεφάροις, ἡ δὲ ναῦς ἱστίοις, ἡ δὲ γῆ ὄρεσι, τὰ δὲ ὄρη νάπαις, ἡ δὲ θάλασσα νήσοις, οἱ δὲ ταῦροι κέρασιν, οἱ ποταμοὶ τέμπεσιν, αἱ πόλεις τείχεσιν. φοβερώτερος δὲ καὶ λέων ὁ λάσιος καὶ .... ἵππος ὁ ἤδη τῇ χαίτῃ πεποιθὼς καὶ ἀλεκτρυὼν μαχιμώτερος ὁ τὰ κάλλαια ἐγηγερκώς. τιμῶσι καὶ σοφοὶ τῶν ἀστέρων τοὺς κομήτας καὶ τῶν ἱερέων τοὺς τὰς κόμας ἀνέτους καὶ τῶν θεῶν ἄλλον ἄλλως, τὸν Ποσειδῶνα ὡς

ιε'. Τί μοι — ἄπιστον καὶ καθάπερ πυρὸς ὁρμὴ σβέννυται, τὸ δὲ — ὄψεως.

XIV. τῷ αὐτῷ. R, r, π, c. μειρακίῳ. υβ, 2, EB.
1. οὐκ οἶδά σε. p. 2. ἐκ σαρκὸς Bentl. et inde B. ἐξ ἀέρος. ς. Deinde nonnihil excidisse suspicor, e. gr. καὶ αἵματος. 2. καὶ ὅσα. p. ib. τούτοις. 1. τούτῳ. 2, EB. ib. κιρνᾶται. r. 3. θεάσαιμι. 1. θεασαίμην. 2, EB. ib. παρ' ἀλλοτρ. p. παρὰ (περὶ R) ἀλλοτρ. ς. ib. καθήμενον. 2. ib. καὶ om. p.
XV. ἑτέρῳ. R, r, π, c. μειρακίῳ. υβ, 2, EB.
5. ὦ παιδίον. R, r, π. ὦ παῖ. ς. ib. πάνυ. π. 8. Ὅμηρον. p. ib. καλῶς. R, r, B. κάλος. (sic) p. ib. δέ ποτε. ς. Sc. δήποτε. 9. ἀπεφαίνετο. ς. Sc. ἀπεφήνατο. ib. ἥψατο. 1. καὶ ἥψατο. 2, EB. ib. ἐφίλησε. 1. κατεφίλησε. 2, EB. 10. ἁπαλαί τε. 1, B. ἁπαλαί. 2, E. ib. καὶ ἤδη. 1, (καὶ ἡδὺ. p.) B. ἤδη. 2, E. 11. χλοάζεις. R, r, π. χαράζουσιν. p. χνοάζεις. ς. ib. ἀνδρ. ἧς. b. ib. εὐνούχων. R, r, π, B. εὐνούχου. p, 2, E. 12. λίθοις. R, r, p. λιθίνοις. 2, EB. 13. σαφέστερον. R, r, π. σαφέστατον. p, 2, EB.
XVI. τῷ αὐτῷ. R, r, π, c. μειρακίῳ. υβ, 2, EB.
14. μὲν om. p. ib. ἐρωμένου. p. 15. αὐτὴν. C. αὐτὸς. EB. ib. φθόνῳ. R, r, π. 17. μαχαίρας. M. 19. κομῶντας εἰσάγοντες. R, r, π. εἰσάγοντες κομῶντας. p, 2, EB. (εἰσάγεσθαι. ψ). ib. τὸ Ἀχ. 1. τὸ τῶν Ἀχ. 2, EB. 20. ποταμὸς. 1. ποταμῶν. 2, EB. 21. οἱ βάρβ. ὅπλοις κομῶσιν — νήσοις. h. ib. κομῶσιν. h, o. κομῶσαι. C, EB. ib. πίλοις. 1, o, B. ὅπλοις. 2, h, e. πίλοις κεκόσμηνται p ex corr. B. ib. ἡ δὲ ναῦς. R, r, π. ἡ ναῦς. p. αἱ δὲ νῆες. 2, EB. 22. οἱ ποταμοί. 1, B. οἱ δὲ ποταμοί. 2, E. 23. δὲ καὶ. 1, B. δὲ. 2, E. ib. ὁ λέων λάσιος. R, r, π. ib. ante ἵππος excidisse videtur comparativus, ut γαυρότερος. ib. πεποιθώς. 1, B. πεπιστευκώς. 2, E. 24. κάλλεα. ρ, ψ, M. κράνη. p ex corr. τε κάλαια. π. ib. τ. δὲ οἱ σ. 2, EB. ib. καὶ τῶν ἀστ. o. ib. τοὺς om. r, π. 25. ἀνέτους τὰς κόμας. 2, E, p, ubi γρ. τοὺς εὐκόμους. ib. ταῖς κόμαις. R, 2, E. ib. ἄλλους ἄλλως. M. ἄλλων ἄλλος. π.

15, 16 = 63, 22. p. 944, 924.

κυανοχαίτην, τὸν Ἀπόλλωνα ὡς ἀκειρεκόμην, τὸν Πᾶνα ὡς δασύν, τὴν Ἶσιν ὡς λυσίκομον, τὸν Διόνυσον ὡς μετὰ τῶν τριχῶν καὶ τῷ κιττῷ κομῶντα, Ἀφροδίτη δὲ οὐδὲ πενθοῦσα ἀπεκείρατο. ἤκουσά γε μὴν ἀνδρὸς σοφοῦ καὶ τὰς ἀκτῖνας λέγοντος κόμας Ἡλίου καὶ τὸν Δία σεμνότερον τῶν ἄλλων θεῶν, ὅτε τὴν κόμην σείει, κἂν ἐπινεύσῃ, οὐ ψεύδεται, ὁ δὲ Ἑρμῆς κομᾷ καὶ τῷ κροτάφῳ καὶ τοῖς σφυροῖς. τότε ἀποκείρεται καὶ πόλις, ὅτε ἁλίσκεται, καὶ γυνὴ τότε ἀφίησι τῆς κεφαλῆς τὸ κάλλος, ὅτε πενθεῖ, καὶ γῆς λιμός, ὅτε μὴ κομᾷ. ἀλλὰ δένδρον μὲν πεσὸν κλάεται καὶ ποιητὴς μεγαλόφωνος πολλὰ ἐπ' αὐτῷ λέγει, σὺ δὲ φύλλα τοσαῦτα ἐκτεμὼν οὐ δακρύεις. φέρε εἴπω σοι τὸν ἐπιτάφιον τῆς κόμης· ὦ κάλλους ἀκρόπολις, ὦ ἔρωτος ἅλσος, ὦ ἄστρα κεφαλῆς.

ιϛ'. Ἔστιν ἔαρ καὶ κάλλους καὶ ῥόδου, ὁ δὲ μὴ χρησάμενος τοῖς παροῦσιν ἀνόητος ἐν οὐ μένουσι μέλλων καὶ βραδύνων ἐν ἀπιοῦσι· φθονερὸς γὰρ ὁ χρόνος καὶ τὴν ἄνθους ὥραν ἀφανίζει καὶ τὴν κάλλους ἀκμὴν ἀπάγει. μηδὲν μέλλε, ὦ φθεγγόμενον ῥόδον, ἀλλ' ἕως ἔξεστι καὶ ζῇς, μετάδος ἡμῖν ὧν ἔχεις.

ιή. Μαλακώτερον διετέθης ὑπὸ τῆς σανδάλου θλιβείς, ὡς πέπεισμαι, δειναὶ γὰρ δακεῖν σάρκας ἁπαλὰς αἱ τῶν δερμάτων καινότητες. διὰ τοῦτο ὁ Ἀσκληπιὸς τὰ μὲν ἐκ πολέμου καὶ θήρας τραύματα καὶ πάσης τοιαύτης τύχης ἰᾶται ῥᾳδίως, ταῦτα δὲ ἐᾷ διὰ τὸ ἑκούσιον, ὡς ἀνοίᾳ μᾶλλον ἢ ἐπηρείᾳ δαιμόνων γενόμενα. τί οὐκ ἀνυπόδετος βαδίζεις; τί δὲ τῇ γῇ φθονεῖς; βλαυτία καὶ σανδάλια καὶ κρηπῖδες καὶ πέδιλα νοσούντων εἰσὶ φορήματα ἢ γερόντων. τὸν γοῦν Φιλοκτήτην ἐν τούτοις γράφουσι τοῖς ἐρύμασιν ὡς καὶ χωλὸν καὶ νοσοῦντα, τὸν δὲ ἐκ Σινώπης φιλόσοφον καὶ τὸν Θηβαῖον Κράτητα καὶ τὸν Αἴαντα καὶ τὸν Ἀχιλλέα ἀνυποδέτους καὶ τὸν Ἰάσονα ἐξ ἡμισείας· λέγεται γὰρ καὶ τὸν Ἄναυρον αὐτοῦ διαβαίνοντος ποταμὸν ἐνσχεθῆναι τὴν κρηπῖδα τῷ ποταμῷ καὶ Ἰάσων οὕτως ἠλευθέρωτο τῶν ποδῶν τὸν ἕτερον τύχῃ τὸ δέον διδαχθείς, οὐ γνώμῃ ἑλόμενος, καὶ ἀπῄει καλῶς σεσυλημένος. μηδὲν ἦτω σοι μεταξὺ τῆς γῆς καὶ τοῦ ποδός. μὴ φοβηθῇς· δέξεται τὴν

ιή. Μαλακώτερον – ῥεύματι ἐς ἀντίληψιν τῆς ἰλύος γενομένης – πόαν, καὶ τὸ ἴχνος προσκυνήσομεν πάντες. ὦ ῥυθμοὶ – ἐρριμμένον.

---

1. Ἀπόλλω. g, m, o. ib. ἀκειρεκόμαν. r. ib. Ἶσιν. EB. 2. Διόνυσον μετὰ. p. 3. γε om. p. 4. ὅτε. p. ὅτι. ς. ib. καὶ τῷ κρ. 1, B. τῷ κρ. 2, E. 5. ἡ πόλις. R, r, π. 6. λειμὴν. R. λειμὼν. π, c. ib. πεσὼν μὲν. π. 7. λαλεῖ. p. ib. σοι. 1, B. σου. 2, E. 8. ὦ ἔρωτος. p, B. ἔρωτος. ς.

XVII. τῷ αὐτῷ. R, r, π, c. μειρακίῳ. uβ, 2, EB.
ος ον

9. ἔστιν – ἀπάγει. h. ib. ἔστι σάρξ κ. b. ib. κάλλους καὶ ῥόδων. p. κάλλους ῥόδων. ψ. ἔαρ καὶ κάλλος ῥόδων. e. ὥσπερ κάλλους καὶ ῥόδων. h. ib. οὐ μένουσι μέλλων. R, r, π, β, B. οὐ μένουσι μένων. p. οὐ μέλλουσι μέλλων. 2, E. 10. ἐν ἀπ. p, B. ἐπ' ἀπ. ς ib. καὶ ὥσπερ – οὕτω καὶ τὴν. h. 11. μέλε. ρ.

XVIII. ἑτέρῳ. R, r, π, c. μειρακίῳ. uβ. μειρακίῳ ἀνυποδέτῳ. 2. μ. ἀνυποδήτῳ. EB.

13. ὑπὸ τῆς σανδάλου. R, r, π, h. ὑπὸ τοῦ σανδαλίου. p, 2, EB. ib. βληθείς. R, r, π, h. βληθεῖσα. p. θλιβείς. 2. θλίβει σε. EB. ib. ὥσπερ. π, h. ib. πέπυσμαι. p. ib. καὶ δακεῖν. h. 14. καὶ τῶν. r, h. ib. κενότοτες. p. ib. ὁ om. r, h. ib. πολεμίων. p. 15. τοιαύτης. 1. τῆς τοιαύτης. 2, EB. ib. ἰᾶτο – εἴα. e. ib. ἀκούσιον. 1. ib. ὡς om. e. ib. ἀγνοίᾳ. 1, h. ib. καὶ — τύχης om. e. τύχης om. h. 16. δαιμόνων. 1, B. δαίμονος. 2, E. ib. γενόμενον. p. ib. τί. R, r, π. τί δὲ. p. τί οὖν. 2, E. τί οὐκ om. h. ib. ἀνυπόδετος. R, h, B. ἀνυπόδετα. r, π. ἀνυπόδητος. p, 2, E. ib. βάδιζε. h. ib. λαυτία. E. 17. κρηπίδες. E. ib. νοσούντων ἢ γερόντων ἐστὶ φορήματα. h. 18. ὡς καὶ χ. R, r, h. ὡς χ. καὶ. ς. 19. ἀνυπόδετος. R, r, h. ib. Ἰάσωνα. h. ib. λέγεται γὰρ τὸν Ἀ. R, r, p. λ. γὰρ καὶ τὸν Ἀ. π, h. λ. γὰρ ὡς τὸν Ἀ. 2, EB. 20. αὐτοῦ διαβ. R, r, π, h. διαβ. αὐτοῦ. 2, EB. ib. ποταμὸν. 1. τὸν ποτ. 2, EB. ib. ἐνσχέθην. R, r, π. ἐνεσχέθη. 2, EB. Sc. ἐνσχεθῆναι. ib. τὴν κρηπῖδα. R, r, p. ἡ κρηπίς. π, h, 2. κρηπίς. EB. ib. καὶ Ἰάσων. R, r, π. καὶ ὁ Ἰ. p, 2, EB. 21. γνώμι. h. 22. μ. ἦτω. C praeter p. μ. ἔστω. p, B. μηδενὶ τῷ μεταξὺ om. σοι. E. ib. φοβηθείς. h.

17, 18 = 35, 22. p. 929, 922.

βάσιν ἡ κόνις ὡς πόαν. ὦ ῥυθμοὶ ποδῶν φιλτάτων, ὦ καινὰ ἄνθη, ὦ γῆς φυτεύματα, ὦ φιλήματα ἐρηρεισμένα.

ιθ'. Πωλεῖς σεαυτήν· καὶ γὰρ οἱ μισθοφόροι. καὶ παντὸς εἶ τοῦ διδόντος· καὶ γὰρ οἱ κυβερνῆται. οὕτως σου πίνομεν ὡς τῶν ποταμῶν, οὕτως ἁπτόμεθα ὡς τῶν ῥόδων· μὴ δὴ αἰδοῦ τῷ εὐκόλῳ, ἀλλὰ σεμνύνου τῷ ἑτοίμῳ, καὶ γὰρ ὕδωρ πᾶσι πρόκειται καὶ πῦρ οὐχ ἑνὸς καὶ ὁ ἥλιος δημόσιος θεός. τὸ μὲν οἴκημά σου κάλλους ἀκρόπολις, οἱ δὲ ἐσιόντες ἱερεῖς, οἱ δὲ στεφανούμενοι θεωροί, τὸ ἀργύριον φόροι. τῶν ὑπακουόντων ἡδέως βασίλευε καὶ ἔτι προσκυνοῦ.

κ'. Καὶ τῷ Διί, ὅτε ἐκοιμᾶτο ἐν τῷ ὄρει τῇ Ἴδῃ, ἄνθη ἀνῆκεν ἡ γῆ λωτόν τε καὶ ὑάκινθον καὶ κρόκον, ῥόδα δὲ οὐ παρῆν, πότερα ὡς μόνης Ἀφροδίτης κτήματα, παρ' ἧς καὶ ταῦτα ἔδει τὴν Ἥραν δανείσασθαι, καθάπερ καὶ τὸν κεστὸν ἐδανείσατο, ἢ ὡς οὐκ ἂν κοιμηθέντος τοῦ Διός, εἰ καὶ ταῦτα παρῆν, οἱ δὲ ἐδέοντο καὶ καθεύδειν τὸν Δία; ὅταν δὲ πνέῃ ῥόδα, ἀνάγκη δήπου πᾶσα καὶ ἀνθρώποις καὶ θεοῖς ἀγρυπνεῖν ἡδέως, ἡ γὰρ εὐωδία δεινὴ πᾶσαν ἡσυχίαν ἐξοικίσαι. ταῦτα μὲν οὖν ἀφείσθω Ὁμήρῳ καὶ τῇ τῶν ποιητῶν ἐξουσίᾳ, σὺ δὲ ἀγροίκως ἐποίησας μόνη κοιμηθεῖσα ἐν ῥόδοις καὶ σωφρονήσασα ἐν οὐ σώφροσιν. ἦ γὰρ τῶν ἐραστῶν ἐχρῆν σοι συμπαρεῖναί τινα ἢ ἐμὲ ἢ τὸν Δία, πλὴν εἰ μὴ προεθυμήθης, ὦ καλή, τὸν στέφανον τοῖς στέρνοις προσαγαγοῦσα καινῷ μοιχῷ συμπλακῆναι.

κα'. Οὖσα ξανθὴ τί ῥόδα ζητεῖς; καὶ μὴν φύσεως οὕτως ἔχεις, ὡς ἐκεῖνα. τί λαμβάνῃ ἄνθους μετὰ μικρὸν οὐκ ὄντος; τί δὲ τὴν κεφαλὴν στεφανοῖς πυρί; ἐμοὶ γὰρ δοκεῖ καὶ τῆς Κολχίδος

ιθ'. Πωλεῖς σεαυτόν· καὶ γὰρ — ῥόδων ἐκείνοις μὲν ἀρέσκεις, ὅτι καὶ γυμνὸς ἔστηκας καὶ δίδως ἐς κρίσιν σεαυτόν, ὃ μόνον κάλλους ἴδιόν ἐστι παρρησίαν εὐτυχοῦντος. μὴ δὴ αἰδοῦ — οὐχ ἑνὸς καὶ ἄστρα πάντων καὶ ὁ ἥλιος — βασίλευε καὶ λάμβανε καὶ ἔτι προσκυνοῦ.

κα'. Οὖσά τις — φοβείτω. ἐμοὶ μὲν οὐδενὶ ἄλλῳ δοκεῖ προσεοικέναι φύλλα ῥόδων λυθέντων ἢ πίπτουσιν· οἱ πολλοί γε τῶν σφόδρα ἐρωτικῶν αὐτοῖς μᾶλλον ἄχθονται λυθεῖσιν ἢ χαίρουσιν ἐπιτετειχισμένοις, ἐπεὶ τὴν παρουσίαν τῆς ἡδονῆς αὐτῶν ὁ μέλλων φόβος νικᾷ. ἡ δὲ σὴ — λύεται. εἰ γὰρ ἐπιτρέψαις μοι κἂν ἕνα βόστρυχον ἐκτεμεῖν· εἰ γὰρ ἀπέλθοιμι οὕτως πνέων, ἔσῃ χαριζομένη ῥόδα μαρανθῆναι μὴ δυνάμενα.

2. ἐστιν. o.
4. οὐδὲν. b. 5. πολιοί. ρ. ib. τοῖς. b. ἐρωτικοῖς. b, ρ. ib. τετειχισμένων. b. ib. ἐπὶ τὴν παρ. ρ. 7. οὕτως πν. b. ib. εἰσὶ χαριζομένη. b.

---

1. πόαν. CB. πόα. E. ib. ὦ γῆς φυτεύματα. R, r, π, h. ὦ γῆς φυτὰ. 2, E. ὦ γ. φ. om. B. ὦ φιλ. ἐρηρεσμένα. R, r, π. ὦ φ. ἐρριμμένον. 2. ὦ φ. ἐρρωμένον. o. ὦ γῆς φ. ἐρηρεισμένα. p. ὦ γῇ φ. ἐρ. B. ὦ γῆς φυτεύματα ἐρηρεισμένα. h.

XIX. πόρνῃ. R, r. γυναικὶ πόρνῃ. π, c. μειρακίῳ πόρνῳ. 2, EB.

3. σεαυτὸν. 2, EB. 4. οὕτως. R, r. οὕτω. ς. 5. τῷ ὡς οἵμω. p. 6. ἱρεῖς. r. 7. θεοὶ. C, E. θεωροὶ conj. B. ib. φόροι, τῶν sic interp. r. φόροι τῶν. ς.

XX. τῇ αὐτῇ. R, r, π, c. γυναικὶ. uβ, 2, EB.

8. ἐν τῷ ὄρει τῇ Ἴδῃ. 1. ἐν τῇ Ἴδῃ τῷ ὄρει. 2, EB. (ἴδῃ. a, g.) ib. ἀνῆκεν ἡ γῆ. 1, B. ἡ γῆ ἀνῆκεν. 2, E. ib. λωτόν τε καὶ κρ. 1, b, B. λωτὸν καὶ κρ. 2, E. 9. παρεῖν. π. ib. πότερα — παρῆν om. R, r, h. ib. πότερα. p, u, uβ, b. πότερον. ς. 10. ἠγήσατο. b. ἠτήσατο. p, u, uβ. ib. οὐ κοιμηθέντος. p, u. 11. αἱ δὲ ἐδέοντο. uβ. ἢ δὲ ἐδέετο. o. ib. καὶ καθεύδειν. 1. καθεύδειν. 2, EB. ib. πνέει. b. ib. δήπου πᾶσα. R, r, uβ. πᾶσα δήπου. p, u, 2, EB. 12. ἀδέως. b. corr. β. ib. δεινὴν. b. 13. ἐξοικῆσαι. R. ib. ἐφείσθω. uβ, b. ib. ἀγρύκως. b. ib. κοιμηθῆναι. uβ. 14. ἐχρῆν σε. b. ἐχρῆν σοι. β. ib. συμπαρῆναι. p. παρεῖναι. 2, E. ib. ἢ ἐμὲ τὸν. E. νὴ τὸν. Hu. 15. προεθυμήθης. 1. προενεθυμήθης. 2. ἐνεθυμήθης. EB. ib. ἀπαγαγοῦσα. uβ. 16. κοινῷ. R, r, π, β.

XXI. ἑτέρα γυναικί. R, r, π, c. γυναικί. uβ, 2, EB.

17. οὖσα ξανθή. R, r, π, β. οὖσα δὲ ξ. p, B. οὖσά τις ξ. 2, E. ib. τὰ ex corr. suprasc. p. ib. τί. R, r, π. τί οὖν. ς. λαμβάνῃ. p, B. λαμβάνεις. R, r, π. μεταλαμβάνεις. 2, E. 18. γὰρ om. π. ib. δόκει. ρ. δοκεῖν. o.

19, 20, 21 = 69, 32, 38. p. 948, 927, 929.

ὁ ὅρμος, ὃν ἔπεμψε τῇ Γλαύκῃ, ῥόδα εἶναι πεφαρμαγμένα, καὶ διὰ τοῦτο ἐκαύθη λαβοῦσα. εἴ τε γὰρ τὰ ῥόδα τερπνά, μὴ παρευδοκιμείτω τὰς καλάς, εἴ τε εὐώδη, μὴ ἀντιπνείτω, εἴ τε ὠκύμορα, μὴ φοβείτω. ἡ γὰρ σὴ κεφαλὴ λειμὼν πολλὰ ἄνθη φέρων ἐστίν, ἃ μήτε θέρους ἄπεισι καὶ χειμῶνος μέσου φύεται καὶ δρεψαμένων οὐ λύεται.

κβ. Ἡ καλλωπιζομένη γυνὴ θεραπεύει τὸ ἐλλιπὲς φοβουμένη φωραθῆναι ὃ οὐκ ἔχει ἡ φύσις, ἡ δὲ καλὴ οὐδενὸς δεῖται τῶν ἐπικτήτων ἀρκοῦσα ἑαυτῇ πρὸς πᾶν τὸ ὁλόκληρον· ὀφθαλμῶν δὲ ὑπογραφὴ καὶ κόμης προσθέσεις καὶ γραφαὶ παρειῶν καὶ χειλέων βαφαὶ καὶ εἴ τι ἐκ κομμωτικῆς φάρμακον καὶ εἴ τι ἐκ φύκους δολερὸν ἄνθος, πρὸς ἐπανόρθωσιν τοῦ ἐνδεοῦς εὑρέθη· τὸ δὲ ἀκόσμητον ἀληθῶς καλόν, ὥστε εἰ μάλιστα πεπίστευκας σεαυτῇ, διὰ τοῦτό σε μάλιστα ἀγαπῶ μαρτύριον τὸ ἄπραγμον ἡγούμενος τῆς ἐν εὐμορφίᾳ πίστεως. οὐ γὰρ κονιᾷς τὸ πρόσωπον, ἀλλ' ἀδόλως εἰ καλή, οἷαι πρότερον ἦσαν, ὧν χρυσὸς ἦρα καὶ βοῦς καὶ ὕδωρ καὶ ὄρνιθες καὶ δράκοντες. τὸ δὲ φῦκος καὶ ὁ κηρὸς καὶ τὸ ταραντινίδιον καὶ οἱ ἐπικάρπιοι ὄφεις καὶ αἱ χρυσαῖ πέδαι Θαίδος καὶ Λαίδος καὶ Ἀριστα γόρας φάρμακα.

κγ. Εἰ μὲν δέῃ χρημάτων, πένης εἰμί, εἰ δὲ φιλίας καὶ χρηστοῦ τρόπου, πλουτῶ. ἔστι δὲ οὐχ οὕτως ἐμοὶ δεινὸν τὸ μὴ ἔχειν, ὡς σοὶ πρὸς αἰσχύνην τὸ μισθοῦ φιλεῖν· ἑταίρας μὲν γὰρ ἔργον προσίεσθαι τοὺς τὰς σαρίσσας ἔχοντας καὶ τὰς σπάθας ὡς ἑτοίμως διδόντας, γυναικὸς δὲ ἐλευθέρας πρὸς τὸ βέλτιον ἀεὶ βλέπειν καὶ τὸ χρηστὸν ἐν εὐνοίᾳ τίθεσθαι. πρόσταξον, ὡς βούλει, καὶ πείθομαι· πλεῖν κέλευσον· ἐμβαίνω. πληγὰς ὑπομεῖναι· καρτερῶ. ῥῖψαι τὴν ψυχήν· οὐκ ὀκνῶ. δραμεῖν διὰ πυρός· οὐ κάομαι. τίς ταῦτα πλούσιος ποιεῖ;

κδ. Ὁ Ἀγαμέμνων, ὅτε μὲν ὀργῆς ἐκράτει, καλὸς ἦν καὶ οὐχ ἑνὶ θεῷ, ἀλλὰ πολλοῖς ὅμοιος

ὄμματα καὶ κεφαλὴν ἴκελος Διὶ τερπικεραύνῳ
Ἄρει δὲ ζώνην, στέρνον δὲ Ποσειδάωνι,

κβ'. Ἡ καλλωπιζομένη – σεαυτῇ καὶ τεθάρρηκας, — τὰ πρόσωπα, οὐδὲ ἐν ταῖς κηρίναις τέταξαι γυναιξίν. ἀδόλως καλαῖς ἀλλ' ἐν ταῖς – φάρμακα.

1. κηρίας. b.

---

1. ἔπεμψε τῇ Γλ. 1, B. τῇ Γλ. ἔπεμψε. 2, E. ib. εἶναι. 1. ἦν. 2, EB. 2. τὰ ῥόδα τερπνὰ. R, r. τερπνὰ τὰ ῥόδα. ς. 3. ἡ γὰρ σὴ. p. ἡ σὴ γὰρ. R, r, π. ἡ δὲ σὴ. 2, EB. ib. πολλὰ. 1, B. πολὺς. 2, E. ib. φέρων ἐστί. 1, B. φέρει. b. φέρων. 2. 4. φύεται. R, r, π. φαίνεται. p, 2, EB.

XXII. τῇ αὐτῇ. R, r, π, c. γυναικὶ. υβ, 2, EB.

5. οὐκ ἔχει ἡ φύσις. 1, B. οὐκ ἔχει· ἡ φύσει δὲ. β. οὐκ ἔχει. ἡ φύσει. 2, E. 6. ἀρκοῦσα. 1. οὐ προσαρκοῦσα. b. 5. ὡς προσαρκοῦσα. 2, EB. 7. ὑπογραφὴ. R, r, π. ὑπογραφαί. p, 2, EB. ib. κόμης προθέσεις. b. ib. γραφαὶ. 1. 8. φύκους. R, r, π. φυκίου. ς. ζωγραφίαι. 2, EB. ib. ἐκ κομμωτικῆς. 1 (ἐν κομμ. π), β, B. κομμωτικῆς. 2, E. 9. μάλιστα. p, B. μᾶλλον. ς. 10. ἡγησάμενος. b. ib. An: ἐπ' ib. πρὸς ἐπανόρθωσιν. 1, β. ἐπανόρθωσις. 2, EB. ib. εὐμορφίᾳ? ib. τὸ πρόσωπον. p, B. τὰ πρόσωπα. ς. 11. πρότερον. p. καὶ αἱ πρότεραι. ς. 12. φύκος. R, r, π. φυκίον. p, 2, EB. ib. κιρρός. 1. ib. ταραντινίδιον. 1. ταραντεινόν. ρ, ψ, a, g, m. ταραντινόν. o. ib. ἐπικάρσιοι. β. 13. Λαίδος καὶ Ἀρισταγ. 1. Ἀρισταγ. καὶ Λαίδος. 2, EB. (Ἀριστα γόρου. R, r, π)

XXIII. ἑτέρᾳ γυναικί. R, r, π, c. γυναικὶ. υβ, 2, EB.

14. μὲν οὖν. p, 2, EB. 15. δεινὸν ἐμοί. p. ib. αἰσχύνην. R, r, π. αἰσχύνης. ς. 16. τοὺς σαπίσσας. π. 17. τὸ βέλτιον. p, B. τὸ βέλτιστον. ς. ib. ἀεὶ om. p. ib. τὸν χρυσὸν. p, 2. τὸν χρηστὸν. E. ib. πρόσταξον, ὡς βούλει, καὶ. R, r, π. πρ. ὡς βούλει. p. πρ. ὡς ἔοικέ σοι. 2, EB. 18. πλεῖν om. 1. ib. ἐμμένω. 1. 19. οὐ κάομαι. R, r. οὐκ άομαι. π. οὐκ ἀναινομαι. 2, EB.

XXIV. τῷ μειρακίῳ. R, r, π, c. μειρακίῳ. υβ, 2, EB.

20. ὁ Ἀγ. — οὐδαμοῦ. h. 22. στέρνα. p. ib. Ποσειδῶνι. h.

22, 23, 24 = 40, 45, 54. p. 931, 934, 940.

ὅτε δὲ ἐνησχημόνει τῇ γλυκύτητι τοῦ θυμοῦ καὶ πρὸς τοὺς ἑταίρους ἠγρίωτο, ἔλαφος καὶ κύων ἐνομίζετο καὶ τὰ τοῦ Διὸς ὄμματα οὐδαμοῦ· σῦς μὲν γὰρ ὀργίζονται καὶ κύνες καὶ ὄφεις καὶ λύκοι καὶ ὅσα ἄλλα οὐ χρῆται λογισμῷ θηρία, καλὸς δὲ ἄνθρωπος καὶ μὴ γελάσας λυπεῖ, μήτοι γε σκυθρωπότερος ἑαυτοῦ γενόμενος. οὐ πρέπει δὲ οὐδὲ ἡλίῳ τὸ πρόσωπον νεφέλῃ καλύπτεσθαι. τίς ἡ κατήφεια αὕτη, τίς ἡ νύξ, τί τὸ στυγνὸν σκότος; μειδίασον, κατάστηθι, ἀπόδος ἡμῖν τὴν τῶν ὀμμάτων ἡμέραν.

κέ. Χθές σε ὀργιζομένην κατέλαβον καὶ ἔδοξα ἄλλην βλέπειν. τούτου δὲ αἴτιον ἡ τοῦ θυμοῦ ἔκστασις ἀκριβῶς σοι συγχέουσα τὴν τοῦ προσώπου χάριν· μὴ δὴ μεταποίει τὴν γνώμην μηδὲ ἄγριον βλέπε. οὐδὲ γὰρ τὴν σελήνην ἔτι λαμπρὰν δοκοῦμεν, ὅταν ᾖ συννεφής, οὐδὲ τὴν Ἀφροδίτην καλήν, ὅταν ὀργίζηται ἢ δακρύῃ, οὐδὲ τὴν Ἥραν βοῶπιν, ὅτε χαλεπαίνει τῷ Διί, οὐδὲ τὴν θάλατταν ἡδεῖαν, ὅταν ταράττηται. ἡ δὲ Ἀθηνᾶ καὶ ἔρριψε τὸν αὐλὸν ὡς τὸ πρόσωπον αὐτῆς συγχέαντα. ἤδη καὶ τὰς Ἐρινῦς Εὐμενίδας καλοῦμεν, ὡς τὸ σκυθρωπὸν ἀρνουμένας, καὶ ταῖς ἀκάνθαις τῶν ῥόδων χαίρομεν, ὅτι ἐξ ἀγρίου θάμνου καὶ λυπεῖν καὶ κεντεῖν εἰδότος γελῶσιν ἐν τοῖς ῥόδοις. ἄνθος δέ ἐστι καὶ γυναικὶ ἡ τοῦ προσώπου γαλήνη. μὴ τραχεῖα γίγνου, μὴ φοβερά, μὴ ἀποστερεῖ τὸ κάλλος, μὴ ἀφαιροῦ ῥόδων σεαυτήν, ἃ ταῖς καλαῖς ὑμῖν ἐν τοῖς ὄμμασι φύεται. εἰ δὲ ἀπιστεῖς οἷς λέγω, τὸ κάτοπτρον λαβοῦσα ἴδε σου τὸ πρόσωπον ἠλλαγμένον· εὖγε, ὅτι ἐπεστράφης.

κϛ. Κελεύεις μοι μὴ βλέπειν κἀγὼ σοὶ μὴ βλέπεσθαι. τίς τοῦτο κελεύει νομοθέτης, τίς δὲ καὶ ἐκεῖνο; εἰ δὲ μηδέτερον κεκώλυται, μήτε ἑαυτὴν ἀφαιροῦ τῆς ἐς ἐπίδειξιν εὐδοκιμήσεως, μήτε ἐμὲ τῆς ἐς τέρψιν ἐξουσίας. οὐδὲ πηγὴ λέγει „μὴ πίῃς“, οὐδὲ ὀπώρα „μὴ λάβῃς“, οὐδὲ λειμὼν „μὴ προσέλθῃς“. ἔπου καὶ σὺ τοῖς νόμοις καὶ διψῶντα παῦσον.

κζ. Ὡς δύσερί σοι καὶ φιλόνεικον τὸ κάλλος· ἀμελούμενον μᾶλλον ἀνθεῖ, καθάπερ τῶν φυ-

---

κέ. Ἐχθές σε – ἐπεστράφης· ἢ γὰρ ἐμίσησας ἢ ἐφοβήθης ἢ οὐκ ἐγνώρισας ἢ μετενόησας.

κϛ. Κελεύεις – παῦσον ὁδοιπόρον, ὃν τὸ σὸν ἄστρον ἀπώλεσεν.

κζ. Ὡς δύσερι – δίδως ἑαυτόν· ἄνθος γὰρ καὶ βαφὴ τοῖς καλοῖς· ἀλλ᾽ αὐχμηρὸς – καλόν· ὁ μὲν γὰρ καλλωπισμὸς ἑταιρικὸν καὶ πάνυ δεῖ δυσχεραίνειν τὴν φαρμασσομένην εὐμορφίαν ὡς πανουργίας ἐγγύς, τὸ δὲ ἀκέραιον καὶ ἀνεπιβούλευτον μόνων ἴδιον τῶν αὐτὸ δεξαμένων τὸ κάλλος. οὕτω καὶ – εἰδότων, ὅτι πᾶν ἀληθέστερον

3. ἡ βαφὴ. Jac. ad Im. 532. 4. δεῖ om. b. 5. μόνον. b. ib. τὸν αὐτὸ λεξάμενον. b. ib. πρῶον. b.

---

1. ἐνησχημόνει τῷ θυμῷ. h. 2. ὀργίζονται. 1, B. ὀργίζεται. 2, E. 3. καλὴ δὲ γυνὴ κ. μ. γελάσασα. p. ib. λυπεῖ. 1. μόνον λυπεῖ. 2, EB. 4. σκυθρωπότερος ἑαυτοῦ. R, r, π. καὶ σκυθρ. ἑαυτ. 2, EB. (σκυθρωποτέρα ἑαυτῆς γενομένη. p.) ib. δὲ om. p. ib. τὸ πρόσωπον νεφέλῃ καλύπτεσθαι. 1. τοῦ προσώπου νεφέλην προβάλλεσθαι. 2, EB. 5. σκότος. 1. σκότος τοῦτο. 2, EB.

XXV. γυναικὶ θυμουμένῃ. R, r, π, c. γυναικὶ. υβ, 2, EB.

7. χθές. 1. ἐχθές. 2, EB. 8. σου. R, r, p, B. σοι. 2, E. ib. συγχέουσα. R, r, π. συγχέασα. ς. ib. μὴ δὴ. 1, B. νῦν δὴ. 2, E. ib. ποίει et in mg. μετα. r. ib. τὴν γνώμην. 1. σεαυτὴν. 2, E. ib. μὴ δὲ. R, r, B. 9. οὐ γὰρ. p, u, B. ib. οὐδὲ — συννεφὴς om. ψ, a, g, m. 10. ὅτε χαλεπαίνει. R, r, π. ὅταν χαλεπαίνῃ. ς. 11. θαλ. ἡδεῖαν. p, u, B. θάλατταν. ς. ib. καὶ ἔρριψε τὸν αὐλὸν. 1. καὶ τοὺς αὐλοὺς ἔρριψε. 2, EB. 12. συγχέαντα. R, r, π, υβ. συγχέοντα. p, u. συγχέοντας. ς. 13. ἀγρίας. p, u. ib. κεντεῖν καὶ λυπεῖν. υβ. 14. ἄνθος δὲ. R, r, π, B. ἄνθος γὰρ. p, u, υβ. ἄνθος. 2, E. ib. γυναικὶ. R, r, π, B. γυναικὸς. ς. ib. μὴ φοβερά. 1. μηδὲ φοβ. 2, EB. 15. μὴ ἀποστ. μὴ ἀφ. 1, B. μηδὲ ἀπ. μηδὲ ἀφ. 2, E. ib. σώμασι. υβ. 16. εὖγ᾽. 2, E. ib. ἀπεστράφης. p, u, υβ, B.

XXVI. ἄλλῃ. R, r, π, c. γυναικί. υβ, 2, EB.

18. με — σε. p, u, υβ. μοι — σε. ρ, ψ. 19. μηδὲ ἕτερον. υβ. ib. ἑαυτὴν. R, r, π, B. σαυτὴν. p, u. 21. προέλθῃς. r, π. ib. ἔπου. 1. ἕπου, γύναι. 2, EB.

XXVII. μειρακίῳ. C, EB.

22. δύσερι σοῦ. β. δυσέριστον. υβ. ib. ἀμελούμενον μὲν ἀνθεῖ. υβ.

25, 26, 27 = 55, 57, 39 p. 941, 942, 930.

τῶν ὅσα τῇ φύσει θαρροῦντα καὶ τῆς τῶν γεωργῶν ὀλιγωρίας μὴ χρήζοντα· οὐχ ἵππον ἀναβαίνεις, οὐκ ἐς παλαίστραν ἀπαντᾷς, οὐχ ἡλίῳ δίδως σεαυτόν, ἀλλ' αὐχμηρὸς περίει καὶ ῥυπῶν καὶ σεαυτῷ μαχόμενος. ἐξηπάτησαι· καλὸς εἶ, κἂν μὴ θέλῃς, καὶ πάντας ἕλκεις τῷ λίαν ἀμελουμένῳ, ὥσπερ οἱ βότρυς καὶ τὰ μῆλα καὶ εἴ τι ἄλλο αὐτόματον καλόν. οὕτω καὶ ὁ Ἀπόλλων ποιμένων ἦρα καὶ ἡ Ἀφροδίτη βουκόλων ἦρα καὶ ἀγροίκων καὶ ἡ Δημήτηρ τῶν τὰ ἀστεῖα οὐκ εἰδότων. οὐδεὶς οὐδὲ ἀστέρας εἶδε κοσμουμένους οὐδὲ ὄρνιθας, οὐδὲ ἵππους καλλωπιζομένους χρυσῷ ἢ ἐλέφαντι λανθάνειν μηχανωμένους [τοῦ ζῴου] τὸ γαῦρον.

κή. Τὴν καλὴν ἀπὸ τοῦ τρόπου δεῖ ποιεῖσθαι τῶν ἐραστῶν τὸν κατάλογον, οὐκ ἀπὸ τοῦ γένους, καὶ γὰρ ξένος ἐπιεικὴς δύναται γενέσθαι καὶ πολίτης κακός, ὅσῳ καὶ τοῦ φρονεῖν ἐγγύτερός ἐστιν. ὁ μὲν οὖν ἐγχώριος οὐδὲν διαφέρει λίθων καὶ παντὸς τοῦ μένοντος, ᾧ τὸ ἑδραῖον ἀνάγκη πρόσεστιν, ὁ δὲ ξένος ἔοικε τοῖς ὀξυτάτοις θεοῖς Ἡλίῳ καὶ ἀνέμοις καὶ ἄστροις καὶ Ἔρωτι, ὑφ' ὧν κἀγὼ πτηνὸς γενόμενος δεῦρο ἐλήλυθα κινηθεὶς προφάσει κρείττονι. μή μου τῆς ἱκεσίας ὑπερίδῃς· οὐδὲ τὸν Πέλοπα ἡ Ἱπποδάμεια ἠτίμησε ξένον ὄντα καὶ βάρβαρον, οὐδὲ ἡ Ἑλένη τὸν δι' αὐτὴν παρόντα, οὐδὲ ἡ Φύλλις τὸν ἐκ θαλάττης ....., οὐδὲ ἡ Ἀνδρομέδα τὸν πρὸς αὐτὴν καταπτάντα. ᾔδεσαν γάρ, ὡς παρὰ μὲν τῶν ἐγχωρίων μίαν πόλιν λαμβάνουσι, παρὰ δὲ τῶν ξένων πολλάς. καὶ μὴν κἀγὼ τοῦ ἔρωτος ξένος καὶ σὺ τοῦ κάλλους, οὐ γὰρ ἡμεῖς πρὸς αὐτὰ ἀπήλθομεν, ἀλλ' αὐτὰ πρὸς ἡμᾶς κατῆλθε, καὶ τὴν παρουσίαν αὐτῶν δεδέγμεθα ἡδέως, ὡς τὴν τῶν ἄστρων οἱ πλέοντες, εἰ δ' ἐμοὶ τὸ ξένῳ εἶναι οὐ γίγνεται πρὸς τὸν ἔρωτα ἐμποδών, μηδὲ σοὶ κώ-

---

τοῦ δεδολωμένου τὸ φύσει παρόν. οὐδεὶς – οὐδὲ λέοντας οὐδὲ ὄρνιθας – ἐλέφαντι ἢ ταινίαις λανθάνει λυμαινόμενος τοῦ ζ. τ. γ. καὶ τέχνῃ παραδιδοὺς — — τὸ ἄσκημα ἐπανορθοῦσθαι τῆς φύσεως τὰ λείποντα.

κή. Τὴν καλὴν – ξένων πολλάς· εἰ δὲ δοκεῖ, φέρε, ἐπὶ συνθήκαις γενέσθω τὸ πρᾶγμα· ἢ ἀμφότεροι μένωμεν, ἢ μετ' ἀλλήλων ἐκεῖσε ἀπέλθωμεν. οὐ δέχῃ τοῦτο· γνῶθι οὖν, ὡς γενέσθαι μὲν ἰχθὺς ξένος οὐκ ἀνέχεται, χαίρει δὲ μεταβολαῖς τῆς γῆς οὔσης μιᾶς. τί γὰρ ἄλλο αἱ πατρίδες ἢ μέτρα δειλὰ ἀγεννῶν νομοθετῶν ὅροις καὶ πύλαις διαγραφόντων τὰ οἰκεῖα, ἵνα ταῖς εὐνοίαις στενοχωρώμεθα ὑπερβαίνειν ὀκνοῦντες τὸ πινάκιον τῆς χωροφιλίας; καὶ μὴν – ἔκτισιν. εἴ τις ἀποκλείει καὶ ξένον πυρὸς ἐναῦσαι θέλοντα, ἀλλὰ τὸ καόμενον σβέσαι; μὴ λακώνιζε — ἔχει.

1. παραδιδούσῃ. b. 2. ἐὰν ἀνορθοῦσθαι τῇ φύσει ὡς τὰ λ. b. In h haec sunt: ἀμελούμενόν σοι τὸ κάλλος μᾶλλον — θαρροῦντα τῆς τῶν γ. ὀ. οὐ χρῄζοντα. τὴν φαρμασσομένην εὐμορφίαν δυσχεραίνειν χρὴ ὡς πανουργίας ἐγγὺς καὶ κοινήν, τὸ δὲ ἀκέραιον καὶ ἀνεπιβούλευτον κάλλος μόνων ἴδιον τῶν αὐτὸ δεξαμένων, οὕτω γὰρ Ἀπόλλων μὲν ποιμένων ἦρα, Ἀφροδίτη δὲ βουκόλων, Δημήτηρ δὲ ἀγροίκων. οὐδεὶς ἀστέρας εἶδε κοσμουμένους, οὐδὲ λέοντας οὐδὲ ὄρνιθας.

3. συνθήκης. b. 5. δὲ om. b. ib. ἀγενῶν. o. 6. διαγράφονται. b. ib. στενοχωρούμεθα. b. 7. An: μή τις — σβέσαι; ib. πυρὸς οὐκ ἐναῦσαι. o. rectius B: πῦρ οὐκ ἐναῦσαι.

---

1. θαρροῦντα τῇ δ' ἀεὶ φροντίζοντα μηδέν, τῆς δὲ τῶν — χρήζοντα. b cum erasione post ultimam vocem. ὀλιγωρίας μὴ φροντίζοντα conj. B. μὴ χρήζοντα. 1, B. οὐ χρῃζ. 2, E. ib. ἐπιμελείας. p in mg. recepit B. 2. ἑαυτὸν. ρ, ψ. ib. ἀλλὰ. R, r, π. ib. περίει. 1. παρίης. ρ. περίης. ψ. περίεις. ς. ib. καὶ ῥυπῶν om. 2, E. 3. ἐξηπάτησαι om. p, u. ἐξηπάτησας. π. ἀλλὰ γὰρ καλός. p, u. 4. οἱ om. uβ. ib. βότρυες. 2, E. ib. καὶ om. p. ib. οὕτως καὶ Ἀπ. b. 5. ἡ Ἀφρ. 1, B. Ἀφρ. 2, E. ib. βουκόλων ἦρα καὶ ἀγρ. 1, β. βουκ. καὶ Ῥέα ἀγρ. (ἀεαγροίκων. ψ.) 2, EB. ib. καὶ Δημ. 2, E. ἀστεῖα. 1. ἄστη. 2, EB. 6. εἶδε. 1, β, B. οἶδε. 2, E. ib. οὐδὲ. 1. ὁ δὲ. 2, EB. ib. καλλοπιζόμενος. p, β. καλλωπίζων. b, 2, EB. 7. ἐλέφαντας. R, r, π. ib. λανθάνειν μηχανωμένους. 1, β. λανθάνει λυμαινόμενος. b, 2, EB.

XXVIII. γυναίῳ τινί. R, r, π, c. γυναικί. uβ, 2, EB.

8. ποιεῖσθαι τῶν ἐραστῶν. R, r. τῶν ἐραστῶν ποιεῖσθαι. ς. 9. καλὸς. γ, ψ. 10. γένοντος. γ. ib. ᾧ. 1, b, B. ὧν. 2, E. 11. ἀνέμῳ. p, γ et Ἀνέμῳ. B. 12. κρείττονι. γ, B. κρείσσονι. ς. ib. τῆς ἱκεσίας. 1, b. τὴν ἱκεσίαν. γ, 2, EB. 13. οὔτε. b. ib. οὐδὲ τὸν Πέλ. 1. οὐδὲ γὰρ τὸν Πέλ. γ, 2, EB. ib. ἡ Ἱπποδ. p, γ, o, B. ib. om. ἡ. ς. ib. Ἱπποδάμη. R, r, π. ib. ἠτίμασε. p, π, γ. 14. Φύλις. r. Φυλὶς. γ. ib. Φύλ. τὸν πρὸς αὐτὴν καταπτάντα. med. om. γ. ib. Deest participium, e. g. ἐκβάντα. 16. αὐτὰ. 1, γ, B. ταῦτα. 2, E. 17. δεδιδάγμεθα. γ. 18. πλέονες. γ. ib. εἰ δ' ἐμοὶ. R, r, γ, B. εἰ δὲ ἐμοὶ. π. εἰ δέ μοι. 2, E. ib. τῷ. π. ib. ξένοι. γ. ib. μὴ γένηται. γ. μὴ γίνεται. p. ib. ἐκποδών. p, π.

λυμα ἔστω πρὸς τὸ συνεῖναι τοῖς ἐρῶσιν. ταχύ γ' ἂν φυγάδα εἵλου νυμφίον, ὥσπερ Ἄδραστος τὸν Πολυνείκην καὶ τὸν Τυδέα, οὓς γαμβροὺς ἐποιήσατο ἐπὶ τῆς βασιλείας τὴν ἔκτισιν. μὴ λακώνιζε, ὦ γύναι, μηδὲ μιμοῦ τὸν Λυκοῦργον, ξενηλασίαν γὰρ ἔρως οὐκ ἔχει.

κθ'. Τὰ μὲν σὰ ὄμματα φιλῶ, τὰ δὲ ἐμὰ οὐ φιλῶ, τοῖς μὲν γὰρ σύνεσιν πολλὴν συνέγνωκα, τοῖς δὲ δεινὴν περιεργίαν· ἀναίσχυντά ἐστιν, ἀλλὰ καὶ κρύπτειν οὐδὲν δυνάμενα ὧν ἑώρακεν ἅπαξ. οὐκ ἀφέστηκεν οὖν μου τῆς ψυχῆς λέγοντα· οὐκ εἶδες τὴν εὔκομον, τὴν εὐπρόσωπον; ἧκε, ἀνάβηθι, ἀλλὰ καὶ κλαῦσον καὶ γράψον καὶ δεήθητι." ἡ δὲ εὖ μάλα πείθεται, παρακούειν μὴ δυναμένη λίχνων δορυφόρων, καὶ γὰρ μὴ βουλομένην σύρουσιν ἔξω καὶ βιάζονται ὅσα αὐτοὶ προλαβόντες ἐπήνεσαν. ἀμέλει πρὶν ἔρωτα ἐς γῆν καταπτῆναι μόνον τὸν ἥλιον ἠπίστατο καλὸν ἡ ψυχὴ καὶ τοῦτο αὐτῆς τὸ θέαμα καὶ θαῦμα ἦν, γευσαμένη δὲ ὥρας ἀνθρωπίνης ἔκαμε καὶ τῆς σπουδῆς ἐκείνης κατέπεσεν, ἐς δὲ θητείαν μετήχθη πικράν.

λ'. Τὸ μὲν ἔργον ἕν, ἄν τε ἐπὶ ἀνδρὸς ἄν τε ἐπὶ μοιχοῦ γένηται, τὸ δὲ τῷ κινδύνῳ σφαλερώτερον τῇ χάριτι μεῖζον· οὐχ οὕτω γὰρ εὐφραίνει τὸ φανερὸν τῆς ἐξουσίας ὡς τὸ ἀπόρρητον τῆς ἡδονῆς, πᾶν δὲ τερπνότερον τὸ κεκλεμμένον. οὕτω καὶ Ποσειδῶν ὑπῆλθε πορφύρῳ κύματι καὶ βοὶ Ζεὺς καὶ χρυσῷ ὕδατι καὶ δράκοντι καὶ ἄλλοις προκαλύμμασιν, ἀφ' ὧν Διόνυσος καὶ Ἀπόλλων καὶ Ἡρακλῆς καὶ οἱ ἐκ μοιχείας θεοί. λέγει δὲ Ὅμηρος καὶ τὴν Ἥραν ἰδεῖν αὐτὸν τότε ἡδέως, ὅτε αὐτῇ συνήει λάθρα, τὴν γὰρ ἀνδρὸς ἐξουσίαν μετέθηκεν ἐς κλοπὴν μοιχείας.

λα'. Ὁ μοιχὸς καὶ πείσας σφαλερώτατον ἀνάλωμα καὶ ὀδυνηρὸν μὴ τυγχάνων, τῆς μὲν γὰρ εὐπραγίας κίνδυνος ὁ νόμος, τῆς δὲ λύπης μισθὸς ὁ ἔρως. φοβεῖσθαι δὲ ἄμεινον τυχόντα ὧν βούλεταί τις ἢ ἀνιᾶσθαι ἀμελούμενον.

λβ'. Τὰ μὲν ὄμματά σου διαυγέστερα τῶν ἐκπωμάτων, ὡς δύνασθαι δι' αὐτῶν καὶ τὴν ψυ-

---

κθ'. Τὰ μὲν – πικράν, ἧς ἔργα θυραυλικὰ καὶ χαμαικοιτίαι καὶ ἡ πρὸς θάλπος καὶ χειμῶνα ἀντίταξις καὶ „ἦ μ' ἀνάειρ' ἢ ἐγώ σε" πρὸς τὸν ἀντεραστὴν μάχη. τούτων δὲ εἰ πάντων σὺ τὸ φάρμακον ἔργου ἐφημέρου ποιήματα ἀθάνατα καὶ βραχείας σώματος ἡδονῆς μνήμην ἀντιλαβοῦσα ἀγήρω· ἃ μὲν γὰρ δώσεις, κοινὰ καὶ ῥᾴδια τοῦ θηλέος παντός, ἃ δὲ κτήσῃ ἀντὶ τούτων οὐδ' ἂν εἴποιμι, ὅσα· εὔνοια καὶ μνήμη καὶ νύξ, ἀφ' ὧν καὶ μήτηρ καὶ πατὴρ γίγνεται.

1. Θυραυλίαι. B ex Ruhnk. ad Tim. 145. 2. ἔργῳ ἐφημέρῳ εὖ ποιήσασα. ρ. 3. βραχείᾳ σώμ. ἡδονῇ. ρ. 4. οὐδ'. C. οὔτ'. EB.

---

1. πρὸς om. p, B. ib. συνεῖναι. v. συνιέναι. ς. ib. τοῖς ἐρῶσιν. 1. τῶν ἐρώτων. γ. τῶν ἐρώντων. 2, EB. ib. ταχύ γ' ἂν. R, r, p, 2. ταχὺ γὰρ. π. ταχὺ γὰρ ἄν. γ. ib. φυγάδαι. (sic). γ. ib. ἑλοῦ. 2. 2. τὴν ἔκτισιν om. γ. τὴν om. 2, E. 3. ξενηλάτας. p. ib. ξ. γὰρ. 1, β, B. γὰρ om. 2, E.

XXIX. γυναικὶ πόρνῃ. R, r, π, c. γυναικί. υβ, 2, EB.

4. τὰ δὲ ἐμὰ. R, r, v. τὰ δὲ ἐμαυτοῦ. ς. ib. οὐ φιλῶ. R, r, v, π, p, B. μισῶ. γ, 2, E. 5. ἔγνωκα. γ. ib. εἰσι. γ. 6. οὖν. R, r, v, γ. γοῦν. ς. ib. τῆς ψυχῆς. R, r, v, γ. τῇ ψυχῇ. ς. ib. εὔκομον. γ. 7. ἧκεν. v. ib. κλαῦσον καὶ γράψον. 1, γ, B. γράψον καὶ κλαῦσον. ς. ib. εἰ δὲ. γ. ib. πείθεται, πείθεται δὲ. 2, E. 8. οὐ δυναμένη. γ. ib. δορυφορίας. p. ib. βιάζονται. R, r, v. βιάζονται φρονεῖν. ς. 9 εἰς αὐτὴν. o ib. καλὸν ἡ ψυχὴ. 1, γ, B. ἡ ψ. καλὸν. 2, E. 10. Θέμα. γ. ib. ἔκαμε καὶ. R, r, p, B. ἔκαμε. γ. ἐκ μὲν. 2, E. 11. μετήχθη. 1, E. ὑπήχθη. 2, E.

XXX. ἑτέρᾳ. R, r, π, c. γυναικί. v, γ, υβ. γυναικὶ ὑπάνδρῳ. 2, EB.

12. ἔργον ἀνανεῦσάν τε. γ. ib. ἄντε – ἄν τε. R, r. ἄν τ' – ἄντ'. ς. ib. μετὰ μοιχοῦ. γ. 13. οὐχ οὕτως γὰρ εὐφραίνει τὸ φ. 1, B. οὐ γὰρ οὕτως τὸ φ. εὐφραίνει. 2, E. 15. καὶ βοὶ Ζεὺς καὶ χρυσῷ ὕδατι. R, r, v, π. καὶ Ζεὺς χρυσῷ ὕδατι καὶ βοί. p, γ, 2, B. ib. καὶ ὁ Ἀπ. r. 16. καὶ οἱ. R, r, π, p. οἱ. γ, 2, EB. ib. λέγοι δὲ. γ. ib. τότε αὐτὸν. γ. ib. συνήει αὐτῇ. γ. 17. μετέβαλεν. γ.

XXXI. πόρνῃ γυναικί. R, r, π, c. γυναικί. υβ, γ, 2, EB.

18. πήσας. γ. ib. σφαλερώτερον. R, r, v, π.

XXXII. γυναικὶ καπηλίδι. R, r, v, π, c, γ. τῇ αὐτῇ. 2, E.

29, 30, 31 = 53, 58, 60. p. 940, 942, 943.

χὴν ἰδεῖν, τὸ δὲ τῶν παρειῶν ἐρύθημα εὔχρουν ὑπὲρ αὐτὸν τὸν οἶνον, τὸ δὲ λινοῦν τοῦτο χιτώνιον ἀντιλάμπει ταῖς παρειαῖς, τὰ δὲ χείλη βέβαπται τῷ ῥόδων αἵματι, καί μοι δοκεῖς καὶ τὸ ὕδωρ φέρειν ὡς ἀπὸ πηγῶν τῶν ὀμμάτων καὶ διὰ τοῦτο εἶναι νυμφῶν μία. πόσους ἱστᾷς ἐπειγομένους; πόσους κατέχεις παρατρέχοντας; πόσους μὴ φθεγξαμένη καλεῖς; ἐγὼ πρῶτος, ἐπειδὰν ἴδω σε, διψῶ καὶ ἵσταμαι μὴ θέλων, τὸ ἔκπωμα κατέχων· τὸ μὲν οὐ προσάγω τοῖς χείλεσι, σοῦ δ᾽ οἶδα πίνων.

λγ΄. Ἐξ ὑέλου μὲν τὰ ἐκπώματα, αἱ δὲ σαὶ χεῖρες ἀργυρᾶ αὐτὰ ποιοῦσι καὶ χρυσᾶ, ὡς καὶ τούτοις τὸ βλέπειν ὑγρῶς παρὰ τῶν σῶν ὀμμάτων εἶναι· ὥστε ἐκεῖνα μὲν κατάθου καὶ χαίρειν ἔα τά τε ἄλλα καὶ διὰ τὸν ἐν τῷ σφαλερῷ τῆς ὕλης φόβον, ἐμοὶ δὲ μόνοις πρόπινε τοῖς ὄμμασιν, ὧν καὶ ὁ Ζεὺς γευσάμενος καλὸν οἰνοχόον παρεστήσατο. εἰ δὲ βούλει, τὸν μὲν οἶνον μὴ παραπόλλυε, μόνου δὲ ἐμβαλοῦσα ὕδατος καὶ τοῖς χείλεσι προσφέρουσα πλήρου φιλημάτων τὸ ἔκπωμα καὶ οὕτως δίδου τοῖς δεομένοις. ἔστι γὰρ ἀνέραστος οὐδεὶς οὕτως, ὡς ποθεῖν ἔτι τὴν Διονύσου χάριν μετὰ τὰς τῆς Ἀφροδίτης ἀμπέλους.

λδ΄. Οὐκ οἶδα, τί σου μᾶλλον ἐπαινέσω· τὴν κεφαλήν; ἀλλ᾽ ὦ τῶν ὀμμάτων. τοὺς ὀφθαλμούς; ἀλλ᾽ ὦ τῶν παρειῶν. τὰς παρειάς; ἀλλὰ τὰ χείλη με ἐπάγεται καὶ δεινῶς κάεται κεκλεισμένα μὲν δι᾽ εὐκοσμίαν, ἀνοιχθέντα δὲ δι᾽ εὐωδίαν.

λε΄. Ἡ Δανάη χρυσὸν ἐλάμβανεν, ἡ Λήδα ὄρνιθας, ἡ Εὐρώπη τὰ ἐξ ἀγέλης, ἡ Ἀντιόπη ὅσα ὄρεια, ἡ Ἀμυμώνη ὅσα θαλάττια, οἱ δὲ ποιηταὶ τὰ δῶρα μύθους ἐποίησαν παράγοντες τὴν ἀλήθειαν ψυχαγωγίᾳ ψευσμάτων. λάβε, λάβε καὶ σὺ τὸν ἀκκισμὸν ἀφελοῦσα τοῦ μεγαλογνώμονος καὶ τὴν εἰρωνείαν ἀφεῖσα τοῦ σώφρονος, ἵνα κἀγὼ Ζεὺς γένωμαι καὶ Ποσειδῶν, διδοὺς μὲν ἃ θέλεις, ἃ δὲ θέλω λαμβάνων.

λγ΄. Ἐξ ὑέλου – ὀμμάτων εἶναι. ἀλλὰ τοῖς μὲν ἄψυχον καὶ ἀκίνητον τὸ διειδές, καθάπερ τῶν ὑδάτων τοῖς ἑστηκόσι, τὰ δὲ ἐν τοῖς προσώποις ἐκπώματα τῇ τε ἄλλῃ ὑγρότητι εὐφραίνειν ἔοικε καὶ τῇ συνέσει τῶν φιλημάτων. ὥστ᾽ ἐκεῖνα – ἀμπέλους.

λδ΄. Οὐκ οἶδα – εὐωδίαν· εἰ δὲ καὶ ἀποδύσῃ, ἀστράπτειν τὰ ἔνδον οἶμαι· Φειδία καὶ Λύσιππε καὶ Πολύκλειτε, ὡς ταχέως ἐπαύσασθε· οὐ γὰρ ἂν πρὸ τούτου τι ἄγαλμα ἄλλο ἐποιήσατε. εὖ μὲν ἔχεις τῆς χειρὸς ἐξόχως, εὖ δὲ τῆς τῶν στέρνων εὐρύτητος, εὖ δὲ τοῦ περὶ τὴν γαστέρα ῥυθμοῦ. τὰ δὲ ἄλλα οὐκ οἶδα, πῶς εἴπω. μάχεται τὸ κάλλος καὶ τοῦ Πριαμίδου δικαστοῦ. φεῦ, γένωμαι τίς; ταῦτ᾽ ἐπαινέσω; καὶ μὴν ἐκεῖνα ἀμείνονα. ἐκείνοις δῶ τὴν κρίσιν; καὶ μὴν ἀνθέλκει με ταῦτα. ἐπίτρεψον ἅψασθαι καὶ ἀποφαίνομαι.

---

2. βεβ. τῷ ῥόδων. R, r, v, π, p. βεβ. ῥόδων. γ. βεβ. τῷ τῶν ῥόδων. 2, EB. ib. δοκεῖ. p, γ. δοκῆς. ψ. δοκ. τὸ. 2, E. 3. φέρειν et corr. φέρεσθαι. rec. m. p. ib. νυμφῶν σε μίαν. v. 4. μὴ om. 2, e. 5. καὶ τὸ ἔκπ. 2, EB. ib. κατέχειν. R, r, v, π. ib. καὶ τὸ. 2, E. ib. προσάγων. R, r, v, π.

XXXIII. τῇ αὐτῇ. R, r, v, π, c, γ, 2, EB. γυναικί. uβ.

7. ὑέλης. p, ubi corr. ὑέλου et α suprasc. v. ib. σαὶ om. 1. ib. ἀργυρᾶ – χρυσᾶ. 1, γ. ἄργυρον — χρυσόν. 2, EB. ib. ταῦτα ποιοῦσι γ. ποιοῦσιν αὐτὰ. p. ib. καὶ ante τούτοις om. 1. 8. ἀμμάτων. o. ib. ὥστε. R, r, v, π, γ. ὥστ᾽. ς. ib. μὴν. r. ib. κατέδου. γ. ib. καὶ om. γ. 9. πρόσπινε. π, γ. 10. μὴ om. R, r, π. ib. παραπόλυε. γ. 11. μόνου. π. ib. ἐμβάλουσα (sic). ψ. ib. οὕτως δίδου. R, r, v, γ et p ex corr. δίδου. ς. 12. ἀν. οὐδείς, ὡς. 1, γ. ἀν. οὐδὲις οὕτως, ὡς. 2, EB. ib. τὰς τῆς. 1, B. τὰς. γ, 2, E. τὰς ἀμπ. τῆς Ἀφρ. v.

XXXIV. γυναικὶ πόρνῃ. R, r, π, c. γυναικί. uβ, γ, 2. τῇ αὐτῇ. EB.

14. ἀλλ᾽ ὦ. v, p, γ, B. ἀλλ᾽ ὦ. R, r, π. ἀλλὰ ὦ. 2, E. 15. An κάει? ib. κεκλειμένα. γ altero loco. 16. ἀνοιχθέντα. p, B. ἀνεωχθέντα. ς.

XXXV. τῇ αὐτῇ. R, r, π, c. Inscr. om. v. γυναικί. uβ, γ, 2, EB.

17. Λίδα. 1. ib. ὄρνιθα. o. 18. ὅσα θαλάττια. R, r, v, π. ὅσα θάλαττα. 2. θάλατταν. p, γ. τὰ ἐν θαλάττῃ. EB. ib. δῶρα θεούς. J ad Imag. 441. 19. ψυχαγωγίαν. R, r, v, π. ib. alterum λάβε om. p, γ. 20. τοῦ μ. — εἰρωνείαν om. a, g, m. ib. εἰρωνίαν. o. ib. καὶ Ποσ. om. p, γ.

λς'. Μὴ ὑποδήσῃ ποτέ, μηδὲ κρύψῃς τὰ σφυρὰ ἐψευσμένοις καὶ δολεροῖς δέρμασιν, ὧν ἀπατηλὸν τὸ κάλλος ἐν τῇ βαφῇ. εἰ μὲν γὰρ λευκὸν φοροίης, συγχεῖς τὴν τῶν ποδῶν λευκότητα, τὸ γὰρ ὅμοιον ἐν τῷ ὁμοίῳ οὐ φαίνεται, εἰ δὲ ὑακίνθινον, τῷ μέλανι λυπεῖς, εἰ δὲ φοινικοβαφῆ, φόβος, ὡς ῥέοντος ἐκεῖθέν ποθεν αἵματος. εἰ δέ σου καὶ τὰ ἄλλα πάντα ἐφαίνετο, καὶ πολὺ κρειττων ἂν ἦς, ἐμπίπτουσα ὅλη ταῖς τῶν ὁρώντων θήραις. ἀλλὰ τῶν μὲν ἄλλων μερῶν ποιοῦ τινα, εἰ θέλεις, φειδὼ καὶ μήτε σκέπης αὐτοῖς φθονήσῃς, μήτε προβλημάτων τῶν ἀναγκαίων, τοὺς δὲ πόδας κατάλιπε γυμνοὺς ὡς δειρήν, ὡς παρειάς, ὡς κόμας, ὡς καὶ ῥῖνα καὶ ὄμματα, ὅπου μὲν γὰρ ἡμαρτήθη τῇ φύσει, σοφισμάτων δεῖ πρὸς τὴν βλάβην, ἵνα κρύψῃ τὸ ἐλλιπὲς ἡ τέχνη, ὅπου δὲ ἀρκεῖ τὸ κάλλος ἐπιδείξει οἰκεία, περιττὰ τὰ φάρμακα. θάρσησον σεαυτῇ καὶ πίστευσον τοῖς ποσί· τούτων φείσεται καὶ πῦρ, τούτων καὶ θάλαττα, κἂν ποταμὸν θελήσῃς περᾶσαι, στήσεται, κἂν κρημνοὺς ὑπερβῆναι, λειμῶνας δόξεις πατεῖν. οὕτω καὶ τὴν Θέτιν ἀργυρόπεζαν εἶπεν ὁ πάσας ἀκριβῶς εἰδὼς τὰς κάλλους ὑπεροχάς, οὕτω καὶ τὴν Ἀφροδίτην γράφουσιν οἱ ζωγράφοι τὴν ἀνασχοῦσαν ἐκ τῆς θαλάττης. μὴ βασάνιζε, ὦ καλή, τὼ πόδε, μηδὲ κρύπτε οὐδὲν ἔχοντας τοῦ λαθεῖν ἄξιον, ἀλλὰ βάδιζε μαλακῶς καὶ κατάλειπε σεαυτῆς ἴχνος, ὡς μέλλουσά τι χαρίζεσθαι καὶ τῇ γῇ.

λζ'. Ὁ Μῶμος τῶν μὲν ἄλλων οὐδὲν ἔφη τῆς Ἀφροδίτης αἰτιάσασθαι, τί γὰρ ἂν καὶ ἐμέμψατο; ἓν δὲ μόνον δυσχεραίνειν ἔφη, ὅτι τρύζοι αὐτῆς τὸ ὑπόδημα καὶ λίαν εἴη λάλον καὶ τῷ ψόφῳ ὀχληρόν, εἰ δὲ ἀνυπόδετος ἐβάδιζεν, ὥσπερ ἀνέσχεν ἐκ τῆς θαλάττης, οὐκ ἄν ποτε ηὐπόρησε σκωμμάτων οὐδὲ κωμῳδίας ὁ ἁλιτήριος, καί μοι δοκεῖ μηδὲ μοιχευομένῃ διὰ τοῦτο μόνον λαθεῖν, ὅτι πάντα ὁ Ἥφαιστος ἔγνω τὰ κεκρυμμένα, τοῦ σανδαλίου διαβαλόντος. ταῦτα μὲν ἡμῖν ὁ μῦθος, σὺ δὲ καὶ τῆς Ἀφροδίτης ἔοικας βουλεύεσθαι ἄμεινον χρωμένη τοῖς ποσίν, ὡς ἐτέχθης καὶ φεύγουσα τοῦ Μώμου τὰ ἐγκλήματα. ὦ ἄδετοι πόδες, ὦ κάλλος ἐλεύθερον, ὦ τρισευδαίμων ἐγὼ καὶ μακάριος, ἐὰν πατῇ με.

λη'. Ὃ τοῖς ἄλλοις ἐπίρρητον δοκεῖ καὶ μέμψεως ἄξιον, ὅτι ἀναίσχυντος εἶ καὶ θρασεῖα καὶ εὔκολος,

---

λς'. Μὴ ὑποδήσῃ – ἐκ τῆς θαλάττης. οὕτω καὶ τὰς Λευκιππίδας. ἑτοίμους ἔχε τοὺς πόδας τοῖς βουλομένοις φιλεῖν καὶ μηδὲ χρυσοῦ δέου. μισῶ τὰς πέδας, ὧν ἡ πολυτέλεια τιμωρία· διαφέρει δὲ ἢ χρυσῷ τινα ἢ σιδήρῳ δεδέσθαι; πλὴν εἰ μὴ τούτου ἐκεῖνο καὶ κάλλιον, ὅτι μετ' εὐφροσύνης ἀνιᾷ.

λη'. Ὃ τοῖς – τῶν ἵππων θαυμάζομεν τοὺς αὐτῶν συνιέντας καὶ λεόντων τοὺς φρονήματι χρωμένους – πολὺ κρειτ-

---

XXXVI. γυναικὶ ἑτέρᾳ. R, r, π, c. γυναικί. υβ, γ, 2. τῇ αὐτῇ. ν, EB.

1. μὴ δὲ. B ex C. 2. εἰ μέν γε. 2, γ et ante corr. p. ib. λευκοφοροίης. r, π. λευκὰ φοροίης. R, ν, B. λευκὸν φεροίης. γ. 3. οὐ φαίνεται. R, r, ν, π, γ, 2, E. μαραίνεται. p, B. ib. εἰ δὲ ὑακ. — λυπεῖς om. R, r, ν, π. ib. ὑάκινθον. p, γ, B. ib. τὸ μέλαν λυπεῖ et γρ. τῷ μ. λ. p. ib. φοινικοβαφῆ. 1, γ, B. φοινικοβαφές. 2, E. ib. φοβεῖς. 2, E. 4. εἴθε. 2, E. ib. τὰ ἄλλα. γ, B. τἄλλα. ς. ib. καὶ – κρείττων om. π. ib. κρεῖττον ἂν ἦν. γ et suprasc. in p. 5. ὅλη om. π. ib. θήραις. R, r, ν, π, B. θύραις. ς. ib. ὡρῶν. R, r, π. ὁρῶν. ν. 6. φειδὼν. γ. ib. μὴ τῆς σκέπης. γ, 2, E. ib. φθονήσῃς. 1, B. φθόνει. 2, E. ib. μὴ δὲ. γ. ib. προβλημάτων. 1, B. περιβλημάτων. 2, E. ib. τῶν om. γ. 7. κατάλιπε. 1, B. κατάλειπε. 2, E. ib. ὡς ἐριμμένα. ν, ρ. ὡς ἐρριμμένα. ς. Sc. ὡς καὶ ῥῖνα καὶ ὄμματα. B malit ὡς ῥῖνα, ὡς ὄμματα. ib. γάρ τι ἡμαρτήθη. γ, 2, EB. γὰρ ἡμαρτήθη om. π. 9. ἐπιδείξει οἰκεία. 1, B. ἐπίδειξιν οἰκεία. ν. εἰς ἐπίδειξιν οἰκείαν. 2, E. ib. θάρσευσον. o. 10. φείδεται. p. ib. θάλαττα. ν. ib. θελήσῃς. 1, B. θέλῃς. γ, 2, E. 11. λειμῶνα. p. ib. οὕτω. 1, B. οὕτως. 2, E. 12. τὰς κάλλους. C. τοῦ κάλλ. E. τὰς τοῦ κάλλ. B. ib. οὕτω. 1, B. οὕτως. 2, E. 13. θαλάσσης. p, γ. 14. κατάλιπε. 1. ib. χαρίζεσθαι καὶ τῇ γῇ. 1, B. καὶ τῇ γῇ χαρίζεσθαι. 2, E.

XXXVII. τῇ αὐτῇ. R, r, ν, π, c, γ, 2, EB. γυναικί. υβ.

15. μέμψαιτο. U, o. μέμψατο. ν. μέμψετο. π, c. 16. δυσχαιρένειν. π, c. ib. αὐτῆς. p. ib. λίαν om. R, r, ν, π, c. ib. λάον εἴη. R, r, π, c. ib. λάλον εἴη λίαν. p, γ. 17. ἀνυπόδετος. 1, B. ἀνυπόδητος. ν ex corr. 2, E. ib. ἀνίσχεν. o. ib. ηὐπόρησε. C, B. εὐπορίσαι. E. εὐπορήσαι. Lob. ad Phryn. 596. 18. ἁλιτρίου. R, r, ν, π, c, γ. ἀλλοτρίας. p. ib. μοιχευομένην. 1. μοιχευομένη. 2, EB. An μοι δοκῶ μηδὲ μοιχευομένην? 19. διαβαλόντος. 1, B. διαβάλλοντος. 2, E. 20. εὖ δὲ. γ. ib. ἐτάχθης. 1, e, B. ἐτάχης. γ. ἐτάχθησαν. 2. ἐτέχθης. Bentl. et inde o. 22. πατῇ με. 1, B. πατήσητέ με. 2, E.

XXXVIII. τῇ αὐτῇ. R, r, ν, π, c. γυναικὶ πόρνῃ. 2, EB. πόρνῃ. γ, υβ.

23. ὃ – ἐπίρρητον om. R, r, ν, π, c et p. pr. m. ib. θρασεῖς. c.

36, 37, 38 = 67, 21, 68, p. 946, 922, 947.

τοῦτο μάλιστα ἐγώ σου φιλῶ. καὶ γὰρ ἵππους θαυμάζομεν τοὺς φρόνηματι χρωμένους καὶ ὄρνιθας τοὺς μὴ νεύοντας κάτω. οὐδὲν οὖν οὐδὲ σὺ καινὸν ποιεῖς, εἰ γυνὴ οὖσα πολλῶν ὥρᾳ κρατοῦσα ὑψηλόν τε ὁρᾷς καὶ μετέωρον βαδίζεις, εἴπερ τις ἐστὶ καὶ κάλλους ἀκρόπολις πολὺ κρείττων τῶν βασιλείων. μισθώματα λαμβάνεις· καὶ γὰρ ἡ Δανάη χρυσόν. καὶ στεφάνους δέχῃ· τοῦτο μὲν καὶ Ἄρτεμις ἡ παρθένος. καὶ γεωργοῖς παρέχεις σεαυτήν· ἡ δὲ Ἑλένη καὶ ποιμέσι καὶ κιθαρῳδοῖς· μηδὲ δούλων καταφρονήσῃς, ἵνα κἂν διὰ σὲ δοκῶσιν ἐλεύθεροι, ἀλλὰ μηδὲ ναυτῶν· ταχέως μὲν ἀπίασιν, ἀλλ' ὁ Ἰάσων οὐκ ἄτιμος ὁ πρῶτος κατατολμήσας θαλάττης· οὔτε γὰρ πῦρ θερμὸν οὕτως ὡς σου τὸ ἆσθμα, οὔτε αὐλὸς ἡδὺ ἄκουσμα οὕτως, ὡς τὰ σὰ ῥήματα.

λθ'. Μηδὲ γράφειν φυγάδα ἀνέξῃ; ἀλλ' ἐπίνευε φιλοῦσιν. ἔφευγε καὶ Ἀριστείδης, ἀλλ' ἐπανήρχετο, καὶ Ξενοφῶν, ἀλλ' οὐ δικαίως, ἔφευγε καὶ Θεμιστοκλῆς, ἀλλ' ἐτιμᾶτο καὶ παρὰ βαρβάροις, καὶ Ἀλκιβιάδης, ἀλλὰ καὶ παρετείχιζε τὰς Ἀθήνας, καὶ Δημοσθένης, ἀλλ' ὁ φθόνος αἴτιος. φεύγει καὶ θάλαττα, ὅταν ὑφ' ἡλίῳ ἐλαύνηται, καὶ ὁ ἥλιος, ὅταν νὺξ καταλαμβάνῃ. φεύγει καὶ μετόπωρον χειμῶνος προσελθόντος καὶ χειμὼν ἄπεισιν ἔαρος διώκοντος, καὶ συνελόντα εἰπεῖν αἱ τῶν πρεσβυτέρων καιρῶν ἐπιδημίαι τῶν νεωτέρων καιρῶν εἰσὶ φυγάδες. ἐδέξαντο καὶ Ἀθηναῖοι Δήμητραν φεύγουσαν καὶ Διόνυσον μετοικοῦντα καὶ τοὺς Ἡρακλέους παῖδας ἀλωμένους, ὅτε καὶ τὸν Ἐλέου ἐστήσαντο βωμόν, ὡς τρισκαιδεκάτου θεοῦ, οὐκ οἴνου σπένδοντες αὐτῷ, ἀλλὰ δακρύων. ἀνάστησον καὶ σὺ τὸν βωμὸν καὶ κακῶς πράττοντα ἐλέησον ἄνθρωπον, μὴ δὶς γένωμαι φυγὰς καὶ τῆς πατρίδος στερηθεὶς καὶ τοῦ πρὸς σὲ ἔρωτος σφαλείς· ἐὰν γὰρ ἐθελήσῃς, κατελήλυθα.

των τῶν βασιλέων, εἴ γε ὑμᾶς μὲν φιλοῦμεν, ἐκείνους δὲ φοβούμεθα. μισθώματα λαμβάνεις – κιθαρῳδοῖς χαρίζῃ· οὐ μέλλεις πρὸς τὸν Ἀπόλλω βλέπουσα; σὺ δὲ μηδ' αὐλητῶν ἀπόσχου, καὶ γὰρ Μουσῶν ἡ τέχνη, μηδὲ δούλων — ἐλεύθερον. μηδὲ τῶν ἀμφὶ κυνηγέσια καὶ θήρας ἐχόντων αἰσχύνεσθαι τὴν Ἀφροδίτην, ὦ καλή· μηδὲ ναυτῶν — θαλάττης· ἀλλὰ μηδὲ τῶν μισθοῦ στρατευομένων· ἀπόδυε δὲ τούτους τοὺς ὑπερηφάνους. πένησι μὲν γὰρ μηδὲ ἀντείπῃς ποτέ· ἀκούουσιν αὐτῶν οἱ θεοί. τὸν μὲν γέροντα τίμησον διὰ τὴν σεμνότητα, τὸν δὲ νέον δίδαξον, ὡς ἄρτι ἀρχόμενον, τὸν ξένον, ἂν σπείδῃ, κατάσχε. ταῦτα καὶ Τιμαγόρα καὶ Λαΐς καὶ Ἀρισταγόρα καὶ τὸ Μενάνδρου Γλυκέριον, ὧν κατ' ἴχνη καὶ σὺ βαίνεις. εἰδυῖα χρῆσθαι .... παρεῖχες καὶ τὴν σὴν σοφίαν ἐπὶ καιροῦ τῶν ἔργων ἔχουσα. οὔτε γὰρ – ῥήματα.

λθ'. Μηδὲ – φιλοῦσιν· οὐκοῦν οὐδὲ ἀναπνεῖν, οὐδὲ κλάειν, οὐδὲ ἄλλα, ὅσα ἡ φύσις. μή με διώξῃς τῶν θυρῶν, ὡς τῆς πατρίδος ἡ τύχη, μηδὲ ὀνειδίσῃς πρᾶγμα αὐτόματον. οὐ τὸ λαμπρὸν ἀλόγῳ τῆς δυνάμεως. ἔφευγε – ἀλλὰ δακρύων καὶ τῆς πρὸς τοὺς ἱκετεύοντας αἰδοῦς. ἀνάστησον – κατελήλυθα.

3. κυνηγέσια. C. κυνηγεσίαν. EB. Lacuna est in 2, quam indicat B in notis.
10. Fo: οὗ τ. λ. ἐν τῷ ἀλόγῳ τῆς δ.

---

1. ὀρνίθων. γ, 2, EB. 2. οὐδὲν οὖν καινὸν καὶ σὺ. p. ib. εἰ .... γυνὴ. sic cum lac. ρ. 3. μετέωρον. v, π, c, p, γ. μετέωρος. ς. 4. βασιλέων. γ, 2, E. ib. χρυσὸν καὶ στεφάνους. M, o. ib. δέχεται. o. ib. καὶ ἡ Ἄρτ. 2, EB. 5. γεωργῷ. p. γεωργοῦ. R. ib. πάρεχε. γ. παρέχειν. π, c. ib. ἑαυτὴν. 2, EB. ib. Ἑλ. ποιμέσι. p. 6. μηδὲν αὐτῶν. R, r, v, π, c. 7. ἀπίασι. γ. ἀπάγουσιν p et γρ. ἄπιᾶσιν. ib. ὁ δὲ Ἰ. p. pr. m. ἀλλ' ὁ suprasc. ib. θαλάσσης. 1 praeter v. ib. καὶ ante οὔτε suprasc. v. ib. οὕτω, ὡς. γ. 8. τὸ om. o. ib. οὕτως om. γ, c.

XXXIX. τῇ αὐτῇ. R, r, v, π, c. γυναικὶ. γ, 2, EB. in uβ. nulla inscriptio.

9. φυγάδι. Jac. conj. 10. ἐτιμᾶτο παρὰ. γ et p. pr. m. 11. ἀλλὰ καὶ ἐτείχιζε τὰς Ἀθ. 1. (ἐτοίχιζε. γ.) ἀλλὰ παρετείχιζε καὶ τ. Ἀθ. 2, EB. Sc. ἀλλὰ καὶ παρετ. 12. θάλασσα. p. ib. ὑφ' ἡλίῳ om. 1. ib. ἐλαύνει. π, non c. ἐλαύνῃ. γ, 2. ib. ὁ ἥλιος. R, r. ἥλιος. ς. ib. ἡ νὺξ. o, B. 13. προελθόντος. γ. ib. συνελόντα. 1, B. συνελόντι. 2, E. 14. τῶν πρεσβυτέρων. R, r, et v, π (utrobique βρεσβυτέρων), c, γ, M. τῶν ὑστέρων νεωτέρων. p. ib. τῶν προτέρων. C, E. Sc. τῶν νεωτέρων. 14. καιρῶν φυγάδες εἰσίν. R, r, v, π, c. καιρ. εἰσὶ φυγάδες. ρ, γ. εἰσὶ καιρῶν φυγαί. 2, EB. 15. φεύγουσαν Δήμητραν. p. ib. τὸν Δ. γ. ib. Ἡρακλέος. ρ. ib. ὅτε. p, B. ὅταν. ς. 16. τρισκαιδέκατον θεόν. 1. 17. ἀνθρωπον ἐλέησον. γ, 2, E. ib. μὴ δὶς. 2, EB. μὴ δὴ. 1. 18. καὶ τοῦ πρὸς σὲ ἔρωτος σφαλεὶς καὶ τῆς π. ἀποστερηθεὶς. γ. ib. ἂν. p, γ. ib. ἐθελήσῃς. 1. ἐλεήσῃς. 2, EB.

μ. Ἡ πυρσαίνουσα μίλτος τὰ χείλη καὶ τὴν παρειὰν ὑπογράφουσα κιόλυμα φιλημάτων, κατηγορεῖ δὲ καὶ γῆρας τοῦ προσώπου, ὑφ' οὗ πελιδνὸν μὲν τὸ στόμα, ῥυσὴ δὲ ἡ παρειὰ καὶ ἔξωρος. ἴσχε δὴ χρωματοποιίαν καὶ μηδὲν ἐπιποίει τῷ κάλλει, μὴ καὶ γράψωμαί σε γήρως ἐπὶ τῇ τοῦ προσώπου γραφῇ.

μά. Οἱ ὀφθαλμοὶ ξύμβουλοι τοῦ ἐρᾶν, σὺ δ' ἀκοὴν σπάσας ἐρᾷς Ἰωνικοῦ μειρακίου οἰκῶν Κόρινθον· τουτὶ δὲ μαντικὸν φαίνεται τοῖς οὔπω εἰδόσιν, ὅτι νοῦς ὁρᾷ.

μβ'. Εἰ κρότῳ ἀνοήτῳ χαίρεις, καὶ τοὺς πελαργούς, ἐπειδὰν παριόντας ἡμᾶς κροτῶσιν, ἡγοῦ δῆμον τοσούτῳ σωφρονέστερον τοῦ Ἀθηναίων, ὅσῳ μηδὲ αἰτοῦσι μηδὲν ὑπὲρ τοῦ κροτεῖν.

μγ'. Τὸ ἐρῶντα καρτερεῖν σωφρονέστερον τοῦ μηδὲ ἐρασθῆναι, καὶ γὰρ δὴ καὶ τὰ πολεμικὰ ἄνδρες οὐχ οἱ μὴ τρωθέντες, ἀλλ' οἱ νικῶντες ἐν τραύμασιν.

μδ'. Τὸ μὲν μὴ ἐρῶντι χαρίζεσθαι, Λυσίου δόξα, τὸ δὲ ἐρῶντι δοκεῖ Πλάτωνι, σοὶ δὲ καὶ ἐρῶντι καὶ μὴ ἐρῶντι. τοῦτο δὲ σοφὸς μὲν οὐδείς, Λαὶς δέ, οἶμαι, ἐπῄνει.

με'. Τὰς ἀπυρήνους ῥοιὰς Ἐρυθραὶ κηπεύουσιν οἰνοχοούσας νᾶμα πότιμον, ὥσπερ τῶν βοτρύων οἱ εὖ πράττοντες· δέκα σοι τούτων τρυγήσας ἔπεμψα, χρῶ δὲ αὐταῖς σιτούμενος μὲν ὡς οἴνῳ, μεθύων δὲ ὡς σίτῳ.

μς'. Εὖ πεποίηκας στρωμνῇ χρησάμενος τοῖς ῥόδοις· ἡ γὰρ πρὸς τὰ πεμφθέντα ἡδονὴ σημεῖον μέγα τῆς πρὸς τὸν πέμψαντα τιμῆς, ὥστε κἀγώ σου δι' αὐτῶν ἡψάμην, καὶ γάρ ἐστιν ἐρωτικὰ καὶ πανοῦργα καὶ κάλλει χρῆσθαι εἰδότα. δέδοικα δέ, μὴ οὐδ' ἡσυχίαν ἤγαγεν, ἀλλ' ἠνώχλει σοι καθεύδοντι, ὥσπερ τῇ Δανάῃ ὁ χρυσός. εἰ δὲ βούλει τι φίλῳ χαρίζεσθαι, τὰ λείψανα αὐτῶν ἀντίπεμψον μηκέτι πνέοντα ῥόδων μόνον, ἀλλὰ καὶ σοῦ.

μζ'. Εἰ Λάκαινα ἦσθα, ὦ καλή, Ἑλένης ἂν ἐμνημόνευσας καὶ τῆς νεώς, εἰ Κορινθία τῶν Λαίδος κώμων, εἰ Βοιωτία, τῶν Ἀλκμήνης γάμων, εἰ τῶν ἐξ Ἴλιδος, οὐκ ἤκουσας τὸν Πέλοπος δρόμον; οὐκ ἐζήλωσας τὴν ἐκ θεάτρου γαμηθεῖσαν; οὐκ ἐθαύμασας τὸν Ἀλφειόν; οὐκ ἔπιες τοῖ

XL. *τῇ αὐτῇ*. R, r, v, π, c. *Βερενίκῃ*. EB.
1. *πυραίνουσα*. φ. ib. *ὑπογράφουσα*. 1. *γράφουσα*. φ, EB. 2. *μὲν πελιδνὸν*. φ. 3. *οὐδὲν*. φ.
XLI. *Ἀθηνοδώρῳ*. R, r, v, π, c, EB.
6. *μαντικὸν*. 1. *μαντικῶς*. φ. *μανικὸν*. EB.
XLII. *τῷ αὐτῷ*. R, r, π, c. *Ἐπικτήτῳ*. EB. Insc. om. v.
7. *ἐπειδὴ*. o. 8. *δήμου*. v. ib. *ὑπερκροτεῖν*. φ.
XLIII. *τῷ αὐτῷ*. R, r, π, c. *Ἀριστοβούλῳ*. EB. Insc. om. v.
9. *τὸν ἐρῶντα*. π, c. *τὸ δὲ ἐρ.* e. *ἐρωτῶντα*. m.
XLIV. *Ἀθηναίδι*. C, EB.
11. *τῷ ἐρῶντι*. φ. ib. *σοὶ — ἐρῶντι* om. φ. ib. *σὺ δὲ*. E. 12. *οἶμαι* om. φ.
XLV. *Διοδώρῳ*. C, EB.
13. *ἀπυρίνους*. e. ib. *ῥοιάς*. R, r, v, π, c, φ. *ῥόας*. EB. ib. *Ἐρυθρά*. φ. 14. *σοὶ*. o.
XLVI. *μειρακίῳ*. R, r, π, c, γ, 2, EB.
16. *καὶ στρωμνῇ*. γ, 2, EB. ib. *ἡδονῆς εἰμί*. b. corr. β. 18. *ἠνόχλει*. o.
XLVII. *ἑταίρᾳ τινί*. R, r. *πόρνῃ*. v. *ἑτέρᾳ τινί*. π, c. *γυναικί*. γ, 2, EB.
21. *τῆς Ἑλ*. 2, EB. ib. *ἐμνημόνευσας*. γ, d, 2. ib. *καὶ* om. o. ib. *νεώς*. a, g, m. 22. *τῆς Λ*. π, c. ib. *κωμῶν*. R, r, v. ib. *τῶν* om. R, r, v, π, c, β. *τῷ*. b. ib. *τῶν ἐξ Ἰλίου*. R, r, v, π, c. 23. *οὐκ ἐζήλωσας — γαμηθεῖσαν* om. R, r, v, π, c.

40, 41, 42, 43, 44, 45, 46, 47 = 2, 3, 4, 5, 6, 10, 31, 42. p. 917, 918, 927, 932.

νυμφίου; ἡ δὲ Τυρὼ τῷ Ἐνιπεῖ ἐπενήξατο καὶ ἀγριῶντι ἐπὶ θάλατταν συνήγαγεν. ἦν γὰρ ἀγαθὴ καὶ μεγάλων ἐραστῶν ἀξία. δοκεῖς δέ μοι μηδὲ Θεσπιακή τις εἶναι, πάντως γὰρ ἂν τῷ Ἔρωτι ἔθυες, μηδὲ Ἀττική, τὰς γὰρ παννυχίδας καὶ τὰς ἑορτὰς καὶ τὰ Μενάνδρου δράματα οὐκ ἄν ποτε ἠγνόησας. ἀλλ' εἰ καὶ βάρβαρος εἶ καὶ μία τῶν ἀπὸ Θερμώδοντος ποταμοῦ παρθένων, ἀλλὰ καὶ ταύτας λόγος νεανίσκοις συμπλέκεσθαι καὶ τίκτειν ἐκ κλοπῆς. ἀλλὰ μὴ Θρᾷττα καὶ Σιδωνία; καὶ μὴν καὶ τούτων ἔρως ἥψατο, καὶ ἡ μὲν τῷ Νυσίῳ συνεπλάκη, ἡ δὲ τῷ Βοιωτῷ Διί. ἔοικα εὑρηκέναι σε, εἰ μὴ κακός εἰμι καὶ φαῦλος φυσιογνωμονεῖν· Δαναός σοι πατὴρ καὶ χεὶρ ἐκείνη καὶ λῆμα φονικόν· ἀλλὰ κἀκείνων τις τῶν ἀνδροφόνων παρθένων νεανίσκου φιλοῦντος ἐφείσατο. οὐχ ἱκετεύω σε, οὐ δακρύω, πλήρωσον τὸ δρᾶμα, ἵνα μου ψαύσῃς κἂν ξίφει.

μή. Καὶ σὺ πονηρὸς οὕτως, ὡς μηδένα ἄλλον ἐλεεῖν, κἀγὼ δυστυχὴς οὕτως, ὡς μηδὲ παρ' ἄλλου λαβεῖν, καὶ πάνυ χαίρω τῇ κακοπραγίᾳ βουλόμενος μὴ παύσασθαι διαμαρτάνων, ἵνα παύσῃ μηδὲ σὺ τῆς ἐπὶ τῷ μιαρῷ τοῦ τρόπου κακοδοξίας, τὸ μὲν γὰρ ἐμὸν μιᾶς ἔργον ἡδονῆς, τὸ δὲ σὸν κοινὸν ἐς διαβολὴν τῆς παρὰ πάντων αἰτίας.

μθ. Ἔπεμψά σοι σῦκα ἡρινά, θαυμάζοις δ' ἂν αὐτῶν ἢ τὸ ἤδη ἢ τὸ ἔτι.

ν. Τί τὸ καινὸν ἀνδρολήψιον τοῦτο; τίς ἡ τυραννίς; ἕλκεις με ἀπὸ τῶν ὀμμάτων καὶ σύρεις μὴ θέλοντα, ὥσπερ τοὺς πλέοντας ἡ χάρυβδις ἀνερρόφει. ἦσαν ἄρα καὶ ἔρωτος πέτραι καὶ ὀφθαλμῶν πνεύματα, οἷς τις ἁπὰξ ἐνσχεθεὶς καταδύεται. τοῦτο μὲν οὖν οὐκ εἶχεν ἡ χάρυβδις· ἐμπρόθεσμον ἐκεῖνο τὸ ναυάγιον καὶ μικρόν τις ἀναμείνας σωτηρίας ηὑπόρει δένδρον εὑρὼν ἐν πελάγει, ὁ δὲ ἐς ταύτην ἁπὰξ τὴν θάλατταν καταρρυεὶς οὐκ ἔτι ἐξέρχεται.

να. Ἡ Σαπφὼ τοῦ ῥόδου ἐρᾷ καὶ στεφανοῖ αὐτὸ ἀεί τινι ἐγκωμίῳ τὰς καλὰς τῶν παρθένων ἐκείνῳ ὁμοιοῦσα, ὁμοιοῖ δὲ αὐτὸ καὶ τοῖς τῶν Χαρίτων πήχεσιν, ἐπειδὰν ἀποδύσῃ σφῶν τὰς ὠλένας. ἐκεῖνο μὲν οὖν εἰ κάλλιστον ἀνθέων, βραχὺ τὴν ὥραν, παρέπεται γὰρ τοῖς ἄνοις ἐννεάσαν τῷ ἦρι, τὸ δὲ σὸν εἶδος ἀεὶ τέθηλεν, ὅθεν ὀφθαλμοῖς ἐμμειδιᾷ καὶ παρειαῖς οἷον τι ἔαρ τὸ μετόπωρον τοῦ κάλλους.

νβ. Οὐ τὸ ἐρᾶν νόσος, ἀλλὰ τὸ μὴ ἐρᾶν, εἰ γὰρ ἀπὸ τοῦ ὁρᾶν τὸ ἐρᾶν τυφλοὶ οἱ μὴ ἐρῶντες.

νγ. Τὴν νεφέλην τῶν ὀφρύων ἀφαιρεῖν ἄμεινον, ὡς μηδὲν κατηφὲς εἴη σοι περὶ τὴν ὥραν,

1. τῷ om. v. ib. *ἐννιπεῖ*. R. *ἐν ἱππεῖ*. r, π. *εὐνιπεῖ*. v. *ἐλιπεῖ*. γ, d. ib. in *ἐπενήξατο* explicunt π, c. ib. *ἀγριῶντι*. R, r, v, β. *ἄγρι τι*. γ, 2. *ἀγρεύοντι*. d, EB. ib. *ἤγαγεν*. v. Fo: *Αἰγαίωνι ἐπιθαλαττίαν εὐνὴν συνήγαγεν*. 2. *γάλων*. ψ. ib. *ἂν*. R, r, v. *κἂν*. ς. 4. *ἀλλ εἰ καὶ*. γ, 2, B. om. haec. R, r, v. *εἰ καὶ*. E. ib. *Θερμ. ποταμοῦ*. R, r, v. *Θερμ*. ς. ib. *ἀλλὰ καὶ*. R, r. *ἀλλ' ουν καὶ*. ς. ib. *κτείνειν*. R, r, v. ib. *Σιδονία*. ρ. 6. *Νίννῳ*. R. *Ρίννῳ*. r. *Νίνῳ*. ς. *Νυσίῳ*. Unger Ecl. cr. 25. ib. *Βοιωτῷ Διί*. R, r, v, β. *Βοιωτῷ*. ς. 7. *καί* om. e. 8. *λῆμμα*. C, a, g. *λῆμα*. m. *βλέμμα*. o. ib. *οἰονικόν*. γ, d, ψ.

XLVIII. *ἑταίρῳ τινι*. R, r. *μειρακίῳ*. EB.

XLIX. *τῷ αὐτῷ*. R, r. Insc. om. v. *Νέστορι*. EB.

L. *τῷ αὐτῷ*. R, r. Insc. om. v. *γυναικί*. γ, 2.

16. *ἀνερρόφει*. γ, 2. *ἀναρροφεῖ*. R, r, v. *ἀνερρόφα*. EB. 17. *οἷς*. B. *αἷς*. ς. ib. *ἡ χ*. R, r, v. *οὐδ' ἡ χ*. γ, 2, EB. 18. *ἔμπροσθεν μοι*. v. ib. *εὐπορεῖ*. C, E. Sc. *ηὐπόρει*. 19. *ἔτι* om. γ.

LI. *Κλεονίδῃ*. φ. *ἀνεπίγραφος* est in R, r. *πόρνῃ*. v. *γυναικὶ* in E.

21. *αὐτῷ*. R. ib. *τοῖς*. p. *ταῖς*. φ, E. 22. *παρέπεται γὰρ*. R, r, p. *πάρεστι καὶ γὰρ*. φ. *τοῖς ἄνοις* C, in v corr. ex *τοῖς ἄνθεσι*, quod dedit o. *τοῖς ἀνθρώποις*. B. An *παρέπεται γὰρ τοῖς ἄλλοις*? 23. *εἶδος* C, non *ἦθος*, ut putabat Ol.

LII. *Νικήτῃ*. φ. *ἀνεπιγρ*. in R, r, v.

LIII. *γυναικί τινι*. R, r. Insc. om. v. *γυναικί*. EB.

48, 49, 50, 51, 52, 53 = 12, 9, 49, 73, 74, 72. p. 918, 947, 950, 949.

αὐτῶν τε γὰρ τῶν ὡρῶν ἡδίους αἱ ἀνειμέναι καὶ γελῶσαι, καὶ τὸ κάλλος ἡδονὴν ὥσπερ ἐκ κατόπτρου ἐμφαίνει τὰ τῆς περὶ τῷ προσώπῳ γαλήνης, ἣν εἰ μὴ θολώσεις, ἄστρον ὑπέρτατον ἐν ἀμέρᾳ βλεπόμενον δόξεις. εἰ δὲ ἐκ Πινδάρου ταῦτα, κἀκεῖνό που κατὰ Πίνδαρον τὸ τὴν ἀκτῖνα τὴν ἀπὸ σοῦ πηδῶσαν εἶναι τῶν ἐμῶν ὀφθαλμῶν μητέρα.

νδ΄. Εἰ κἀμὲ φεύγεις, ἀλλ᾽ ὑπόδεξαι κἂν τὰ ῥόδα ἀντ᾽ ἐμοῦ. καί σου δέομαι μὴ στεφανοῦσθαι μόνον, ἀλλὰ καὶ κοιμηθῆναι ἐπ᾽ αὐτῶν, καὶ γάρ ἐστιν ἰδεῖν μὲν καλά, οἷαν τὸ πῦρ ἔχει τὴν ἀκμήν, ἅψασθαι δὲ μαλακὰ καὶ πάσης στρωμνῆς ἁπαλώτερα ὑπὲρ τὸν Βαβυλώνιον κόκκον καὶ τὴν Τυρίαν πορφύραν. καὶ γὰρ εἰ σπουδαῖα ἐκεῖνα, ἀλλ᾽ οὐ πνεῖ καλόν. ἐνετειλάμην αὐτοῖς καὶ τὴν δειρήν σου φιλῆσαι καὶ τοῖς μαστοῖς ἐπελθεῖν καὶ ἀνδρίσασθαι, ἂν ἀφῇς, καί, οἶδα, ἀκούσεται. ὦ μακάρια, οἷαν γυναῖκα περιβάλλειν μέλλετε. ἀλλὰ δεήθητε αὐτῆς ὑπὲρ ἐμοῦ καὶ πρεσβεύσατε καὶ πείσατε, ἐὰν δὲ παρακούῃ, κατακαύσατε.

νέ. Ὄντως τὰ ῥόδα Ἔρωτος φυτά, καὶ γὰρ νέα, ὡς ἐκεῖνος, καὶ ὑγρά, ὡς αὐτὸς ὁ Ἔρως, καὶ χρυσοκομοῦσιν ἄμφω καὶ τἆλλ᾽ αὐτοῖς ὅμοια· τὰ ῥόδα τὴν ἄκανθαν ἀντὶ βελῶν ἔχει, τὸ πῦρ ἀντὶ δᾴδων, τοῖς φύλλοις ἐπτέρωται. χρόνον δὲ οὔτε Ἔρως οὐδὲ ῥόδα οἶδεν, ἐχθρὸς γὰρ ὁ θεὸς καὶ τῇ κάλλους ὀπώρᾳ καὶ τῇ ῥόδων ἐπιδημίᾳ. εἶδον ἐν Ῥώμῃ τοὺς ἀνθοφόρους τρέχοντας καὶ τῷ τάχει μαρτυροῦντας τὸ ἄπιστον τῆς ἀκμῆς, ὁ γὰρ δρόμος διδασκαλία χρήσεως· εἰ μὲν οὖν ἅψῃ ταχέως τῶν ῥόδων, μένει, εἰ δὲ μελλήσαις, ἀπελήλυθε. μαραίνεται καὶ γυνὴ μετὰ ῥόδων, ἂν βραδύνῃ. μὴ μέλλε, ὦ καλή· συμπαίξωμεν, στεφανωσώμεθα τοῖς ῥόδοις, συνδράμωμεν.

νϛ΄. Ἀπέκλειόν σοι τὰ ὄμματα. πῶς σοι; εἶπω· ὡς οἱ πολιορκούμενοι τὰς πύλας. καὶ σὺ τὴν φρουρὰν λαθὼν ἔνδον εἶ. λέγε, τίς σε ἐσήγαγεν, εἰ μή τοι τὰ ὄμματα .... ἦν ἄρα πάθος ἐρωτικὸν καὶ κατὰ τῆς ψυχῆς γενόμενον, ἦγε πάλαι μὲν μόνα ἐνεθυμεῖτο, ἃ ἤθελε, καὶ περὶ τὰ κάλλιστα ἐσπουδάκει φιλοσοφοῦσα, καὶ ἦν αὐτῆς ὁ ἔρως τὰ οὐρανοῦ νῶτα ὁρᾶν καὶ περὶ τῆς κατὰ ταῦτα οὔσης οὐσίας πολυπραγμονεῖν καὶ τίνες αἱ τοῦ παντὸς περίοδοι καὶ τίς ἡ ταῦτα ἄγουσα ἀνάγκη, καὶ τὸ σκέμμα ἐδόκει χαριέστατον ἡλίῳ συνδραμεῖν καὶ σελήνῃ, συγκινδυνεῦσαι μὲν ἀπιούσῃ, συνησθῆναι δὲ πληρουμένῃ τῷ τε ἄλλῳ χορῷ τῶν ἀστέρων συμπλανηθῆναι καὶ μηδὲν ἄβατον μηδὲ ἀθέατον καταλιπεῖν τῶν ὑπὲρ τὴν γῆν μυστηρίων, ἀφ᾽ οὗ δὲ ἀνθρωπίνῳ πλησιάσασα ἔρωτι ἑάλω κάλλους ὄμμασι, πάντων ἀμελήσασα ἐκείνων περὶ ἓν τοῦτο ἐσπούδακε, καὶ ὅσον ἂν τῆς ἔξω μορφῆς ἁρπάσῃ, τοσοῦτον ἔνδον συντίθησι καὶ μνήμῃ ταμιεύεται, τὸ δὲ ἔσω παρελθὸν φῶς μέν ἐστιν ἐν ἡμέρᾳ, νύκτωρ δὲ ὄναρ γίγνεται.

2. τὰ περὶ τῆς τῷ πρ. v. ἐκ τῆς. o. 4. μέτρα. o.
LIV. μειρακίῳ. R, r. Insc. om. v. γυναικί. γ, 2, EB.
6. καλὸν. ψ. ib. οἷον. R, r, v. 7. μαλθακά. b. ib. μαλακώτερα. γ. 9. ὑπελθεῖν. R, r, v, b. ib. ἦν φῆς. v. ἀμφίς. b. corr. β. Malim ἐφῇς. ib. ἀκούσεται. R, r, v, B. ἀκούσεται ὅτι. 2, b (ubi adscr. ἀκούονται) γ, E. 10. ἐμέλλετε. b. μέλλετε ἄνθη. R, r, v, β Fo: ὦ μακ. ἄνθη. ib. ἀλλὰ καὶ. b corr. β. ib. καὶ πείσατε om. b. ib. παρακούσῃ. b.
LV. ἑταίρᾳ γυναικί. R, r. Insc. om. v. γυναικί. γ, 2, EB.
13. τάλλα. R, r. τἆλλ᾽. γ, 2. τὰ ἄλλα. b. τ᾽ ἄλλ᾽. o. ib. τὸ πῦρ. R, r, v, b. τὸ πυρρὸν. γ, 2, EB. 15. ἀνθηφόρους. b. 16. μαρτυροῦντας. R, r, v. μαρτυρουμένους. ϛ. ib. διδασκαλία. γ. ib. χρήσεως· εἰ μὲν οὖν ἅψῃ ταχέως τῶν ῥόδων, μένει, εἰ δὲ. R, r, v, β in mg. B. χρήσεως. ζήτει καὶ ἕως ὄζῃ καὶ ζῇ, λαβεῖν. εἰ δὲ. b. χρήσεως· εἰ δὲ cum lac. γ, 2. sine lac. E. 17. μελήσαις. R, r, v, β. 18. μέλε. ρ. ib. συμπαίξωμεν. R, r, B. συμπαίζωμεν. γ, 2, E. ib. στεφανωσόμεθα. v, γ, b, 2, E.
LVI. μειρακίῳ. γ, 2, EB. ἑταίρῳ τινί est in R, r ante ἦν ἄρα πάθος, unde initium habet epistola et „ἐρωμένῳ τινί“ ante πῶς σοι; quod hic fini adhaeret. Insc. om. v.
19 εἶπω om. g, m, o. 20. μή τοι. R, r, v. μή τι. ϛ. Lacunae signa posuit jam B. ib. ἦν ἄρα πάθος om. γ, d, 2 cum lac. 23. οὔσης οὐσίας. R, r, v. ὄντως οὐσίας. γ, 2, E. 24. καὶ τὸ σκ. 1, γ, o, B. τὸ σκ. 2, e. ib. ἀπιοῦσι — πληρουμένοις. R, r, v. 25. ἢ τῷ τε ὑπὲρ τὴν γῆν om. med. R, r, v. 26. ὑπὲρ γῆν. ϛ. 28. ἁρπάσῃ. R, r, v. σπάσῃ (πάσῃ. d). ϛ. ib. μνήματα μαιεύεται. m. 29. ἐστ᾽ ἐν ἡ. ρ.

51, 55, 56 = 28, 34, 52. p. 926, 928, 939.

νζ'. Πέπεισαι μέν, ὡς εἰκάζειν ἔχω, τοῦ δὲ ἔργου τὴν αἰσχύνην ὀκνεῖς καὶ πρᾶγμα ἀποδιδράσκεις, ἀφ' οὗ τις φίλος γίγνεται. οὐκ ἐντεῦθεν ἐπληρώθη καλῶν τὰ Ὁμήρου ἔπη τὸν Νιρέα τὸν Ἀχιλλέα ἐς Τροίαν ἄγοντος; οὐκ ἐντεῦθεν Ἁρμόδιοι καὶ Ἀριστογείτονες, οἵ γε φίλοι καὶ μέχρι τῶν ξιφῶν; ὁ δὲ Ἀπόλλων οὐκ Ἀδμήτῳ καὶ Βράγχῳ ἐθήτευσεν; ὁ δὲ Ζεὺς οὐ τὸν Γανυμήδην ἥρπασεν, ᾧ χαίρει καὶ πρὸ τοῦ νέκταρος; μόνοι γὰρ ὑμεῖς οἱ καλοὶ καὶ τὸν οὐρανὸν οἰκεῖτε ὡς πόλιν. μὴ φθονήσῃς ἐραστοῦ σεαυτῷ δοῦναι μὲν ἀθανασίαν οὐκ ἔχοντος, τὴν δὲ αὐτοῦ ψυχὴν προτείνοντος. εἰ δὲ ἀπιστεῖς, ἕτοιμος ἀποθνήσκειν, ἂν ἐπιτάττῃς τοῦτο νυνί. εἰ δὲ πλέκω τὸν βρόχον, ἀπάνθρωπε, οὐκ ἀφαιρήσεις;

νή. Ἐπαινῶ σε ἀντισοφιζόμενον τῷ χρόνῳ καὶ περικόπτοντα τὰ γένεια, ὃ γὰρ ἀπῆλθε φύσει, τοῦτο μένει τέχνῃ, ἡδίστη δὲ ἡ τῶν ἀπολλυμένων ἀνάκτησις, ὥστ', εἰ ἐμοὶ συμβουλεύοντι πείθοιο, τῇ μὲν κεφαλῇ κόμα καὶ μελέτω σοι τῶν βοστρύχων, ὡς τοὺς μὲν ταῖς παρειαῖς συγκαταβαίνειν ἠρέμα, τοὺς δὲ τοῖς ὤμοις ἐπικαθῆσθαι, καθάπερ φησὶν Ὅμηρος τοὺς Εὐβοεῖς ὄπισθεν κομᾶν — κεφαλὴ γὰρ ἀνθοῦσα ἡδίων παρὰ πολὺ τοῦ τῆς Ἀθηνᾶς φυτοῦ, εἴπερ γε δεῖ καὶ ταύτην τὴν ἀκρόπολιν μὴ ψιλὴν ὁρᾶσθαι μηδὲ ἀκόσμητον — τὰ δὲ γένειά σοι ψιλὰ ἔστω καὶ μηδὲν ἐνοχλείτω τῷ φωτὶ τούτῳ μήτε νεφέλη μήτε ἀχλύς. ὡς γὰρ οὐχ ἡδὺ θέαμα κεκλεισμένα ὄμματα, οὕτως οὐδὲ γένεια καλοῦ κομῶντα. εἴτε οὖν φαρμάκοις εἴτε μαχαίραις λεπταῖς εἴτε ἄκροις δακτύλοις εἴτε ῥύμμασι καὶ πόαις εἴτε ἄλλῃ τινὶ μηχανῇ, πρᾶττε σεαυτῷ τὸ κάλλος μακρότερον. οὕτω γὰρ ἔσῃ μιμούμενος τοὺς ἀγήρως θεούς.

νθ'. Ἐχθὲς συγκλείσας τὰ βλέφαρα ὅσον ἡσυχῇ σκαρδαμύξαι, πολὺν ἡγούμην τὸν χρόνον· ἀμέλει τοῖς ὀφθαλμοῖς ὡς ἀνεράστοις ἐνεκάλουν· τί δὴ αὐτῆς ἐπελάθεσθε; τί δὲ τὴν φρουρὰν ἐξελίπετε; ποῦ δέ ἐστι καὶ τί γέγονε; κἂν τοῦτο αὐτὸ μηνύσατε." νομίσας δὲ ἀκούειν ἀπῆλθον ἔνθα σε ὄψεσθαι ᾠόμην καὶ τοῦτο ἐκεῖνο ἐζήτουν ὡς ἡρπαγμένην. τί οὖν μέλλω ποιεῖν, ἐὰν ἐξελάσῃς ἐς ἀγρόν, ὡς πέρυσι, καὶ πολλῶν ἡμερῶν τὰς ἐν ἄστει διατριβὰς καταλίπῃς; ἡγοῦμαι ἀναγκαῖον σαφῶς ἀπολωλέναι μηδὲν ἔχοντα ἡδὺ μήτε ἀκούειν μήτε ὁρᾶν. ἐγὼ μὲν γὰρ ἔψεσθαί σοι νομίζω τὴν πόλιν ἐξιούσῃ καὶ αὐτοὺς τοὺς ἐν ἄστει θεοὺς ἑλκομένους ὑπὸ τῆς θέας. τί γὰρ ἐνταῦθα μόνοι ποιοῦσιν; εἰ δὲ κἀκεῖνοι κατὰ χώραν μενοῦσιν, ἀλλ' ἔγωγε οὐκ ἀπολειφθήσομαι τοῦ Ἔρωτος ἐφόλκιον· εἰ δὲ καὶ σκάπτειν δέοι, λήψομαι τὴν δίκελλαν, εἴτε κλᾶν, θεραπεύσω τὰς ἀμπέλους, εἴτε ἐπάγειν λαχάνοις ὕδωρ, ὁδοποιήσω τὸν δρόμον. τίς γὰρ οὕτω τυφλὸς ποταμός, ὡς σὴν γῆν μὴ γεωργεῖν; ἓν ἐξόμνυμαι τῶν ἐν ἀγροῖς εἰθισμένων, ἀμέλγειν γάλα. μόνων ἡδέως τῶν σῶν μαστῶν ἅπτομαι.

ξ'. Πάντα με αἱρεῖ τὰ σά, καὶ ὁ λινοῦς χιτών, ὡς ὁ τῆς Ἴσιδος, καὶ τὸ καπηλεῖον, ὡς Ἀφρο-

LVII. *πρὸς φιλοῦντα.* R, r. Insc. om. v. *μειρακίῳ.* 2, EB.

1. *ὡς εἰκάζειν ἔχω.* R, r, v. *ὡς εἰκάζω.* ς. ib. *εἰς ἃ πράγματα.* C, EB. *ἴσα πράγματα, ἃ.* B conj. Sc. *καὶ πρᾶγμα.* 2. *ἀφ' ὧν.* o. 3. *Ἁρμοδίου — Ἀριστογείτονος.* C, EB. Sc. *Ἁρμόδιοι — Ἀριστογείτονες.* ib. *οἵ γε.* R, r, v. *ὅσοι.* ς. 4. *Γαννυμήδην.* 2, a. 6. In *μὴ* explicit v, folio abscisso. ib. *σεαυτῷ* om. R, r. 7. *προτείνοντος.* R, r. *οὐκ ἔχοντος.* 2. *ἔχοντος.* EB. ib. *ἀποθνήσκεις.* R. 8. *βρόχον ἀπνέων.* r. ib. *ἀφαιρῃ.* (sic) R. ib. *οὐ καθαίρήσεις.* EB.

LVIII. *εἰς ἐρώμενον.* r, sed R sine lemmate. *μειρακίῳ.* γ, 2, EB.

10. *ὥστ' εἰ.* R, r, B. *ὥστε, εἰ.* ς. Post *ἠρέμα* legitur in C. (praeter R, r.) et EB: *καὶ ταῦτα σου τὰ γένειά τις ἀφαιρήσεται ῥᾳδίως, ὅτε βούλεται.* 12. *ὄπισθε.* γ, ρ. 13. *παρα πολὺ.* R, r. *πολὺ.* γ, 2, EB. 17. *ῥύμμασιν.* m, o. ib. *οὕτως.* γ, 2, E. 18. *τοὺς ἀγήρως θεούς* om. R, r. ib. *ἀγήρῳ.* γ, 2.

LIX. *γυναικί.* γ, 2, EB.

19. *χθὲς.* U. 20. *αὐτοῖς.* U. 21. *ποῦ δ' ἔστι.* E. 23. *ὥσπερ εἴς με .... καὶ.* γ, d, 2. *ὥσπερ με .... καὶ.* U. ib. *καταλείπῃς.* U. ib. *ἀναγκα ... γ, d.* 24. *ἐγὼ μὲν γὰρ εἰ μὴ ψεύσεσθαι.* C. 25. Ante *τὴν* delevi *καὶ.* 26. *μένουσιν.* C. 28. *σῆν.* γ. *τὴν.* U.

LX. *γυναικὶ καπηλίδι.* C, EB.

31. *αἱρεῖ.* Wyttenb. ad Hist. Sel. 375. B. *αἴρει.* ς. ib. *ὡς ὁ τῆς Ἰσ.* EB. *ὡς τῆς.* C.

57, 58, 59, 60 = 56, 61, 62, 23. p. 941, 943, 944, 923.

δίσιον, καὶ τὰ ἐκπώματα, ὡς Ἥρας ὄμματα, καὶ ὁ οἶνος, ὡς ἄνθος, καὶ τῶν τριῶν δακτύλων αἱ συνθέσεις, ἐφ' ὧν ὀχεῖται τὸ ποτήριον, ὥσπερ αἱ τῶν φύλλων τῶν ἐν τοῖς ῥόδοις ἐκβολαί, κἀγὼ μὲν φοβοῦμαι, μὴ πέσῃ, τὸ δὲ ἕστηκεν ὀχυρῶς, ὡς γνώμῃ ἐρηρεισμένον καὶ τοῖς δακτύλοις συμπέφυκεν. εἰ δὲ καὶ ἀποπίοις ποτέ, πᾶν τὸ καταλειπόμενον γίγνεται θερμότερον τῷ ἄσθματι, ἥδιον δὲ τοῦ νέκταρος. κάτεισι γοῦν ἐπὶ τὴν φάρυγγα ἀκωλύτοις ὁδοῖς, ὥσπερ οὐκ οἴνῳ κεκραμένον, ἀλλὰ φιλήμασιν.

ξά. Τίς σε, ὦ καλή, περιέκειρεν; ὡς ἀνόητος καὶ βάρβαρος ὁ μὴ φεισάμενος τῶν Ἀφροδίτης δώρων. οὐδὲ γὰρ γῆ κομῶσα ἡδὺ οὕτω θέαμα ὡς γυνὴ κατάκομος. φεῦ ἀναιδοῦς παλάμης· ὄντως πάντα τὰ ἐκ πολεμίων πέπονθας· ἐγὼ δὲ οὐκ ἂν οὐδὲ αἰχμάλωτον περιέκειρα τιμῶν τὸ κάλλος ὡς οὐχ ἡδέως ἀμελούμενον. ἀλλ' ἐπεὶ τετέλεσται τὰ δεινά, κἂν μήνυσον τὰς κόμας, ποῦ κεῖνται, ποῦ τέτμηνται, πῶς αὐτὰς ὑποσπόνδους λάβω, πῶς φιλήσω χαμαὶ κειμένας. ὦ πτερὰ Ἔρωτος, ὦ κεφαλῆς ἀκροθίνια, ὦ κάλλους λείψανα.

ξβ'. Ὅτε δὲ ἔκρινε καὶ τὰς θεὰς ὁ Ἀλέξανδρος, οὔπω παρῆν ἡ ἐκ Λακεδαίμονος, εἰ δ' οὖν, μόνην ἂν καλὴν ἀπεφήνατο, ἣν αὐτὸς ἐβούλετο. ὅπερ οὖν ἐκείνῳ τότε πρὸς τὴν κρίσιν ἄλλῃ πως ἔσχεν, ἐμοὶ νῦν ἐπανορθωθήσεται· μὴ κάμνετε, ὦ θεαί, μηδὲ ἐρίζετε, ἔχω γάρ, ἰδού, τὸ μῆλον. λάβε, ὦ καλή, καὶ νικᾷς τὰς θεάς, καὶ ἀνάγνωθι τὰ γράμματα. τά τε ἄλλα καὶ ἐπιστολῇ τῷ μήλῳ κέχρημαι· ἐκεῖνο Ἔριδος, τοῦτο Ἔρωτος. ἐκεῖνο ἐσιώπα, τοῦτο φθέγγεται. μὴ ῥίψῃς, μὴ φάγῃς· οὐδὲ ἐν πολέμῳ πρεσβευτὴς παρανομεῖται. τί οὖν ἐπέσταλκα; αὐτὸ ἐρεῖ· Εὐίππη, φιλῶ σε· ὑπόγραψον ἀναγνοῦσα καὶ ὡς ..... δέχεται. τὸ μῆλον καὶ ταῦτα τὰ γράμματα.

ξγ'. Ἐπυθόμην, ὡς τὰ ῥόδα ἐλθόντα παρὰ σὲ ὅσα χρέος ἀπέλαυεν, ἐγώ τε γὰρ ἐνετειλάμην αὐτοῖς, καὶ ὡς ἐκπιόντα ἀκηράτου χρωτὸς τῆς σῆς δρόσου κατέσχον τὴν ψυχὴν ἐξιοῦσαν καὶ δυσανασχετοῦσαν. καλῶς ἐποιήσατε, ὦ ῥόδα, ἀναβιώσαντα, καὶ δέομαι, μείνατε, ἕστ' ἂν ἔλθω. μαθεῖν γὰρ ἔγνωκα, εἴ τι παρ' ἀλλήλων εἰλήφατε ἐς εὐωδίαν αὐτὴ καὶ ὑμεῖς ἐς χρόνον.

ξδ'. Τὴν σωφροσύνην, ἐφ' ᾗ μέγα δὴ φρονεῖς, οὐκ οἶδα, τί εἴπω· πότερον ἀγριότητα ἀντίπαλον τῶν φύσεως ἐπιταγμάτων; ἢ φιλοσοφίαν ἀγροικίᾳ πεπυργωμένην; ἢ αὐθάδη πρὸς ἡδονὰς δειλίαν; ἢ σεμνὴν ὀλιγωρίαν τῶν τοῦ βίου τερπνῶν; ὅ τι δ' ἂν ᾖ καὶ δοκῇ τοῖς σοφισταῖς, δόξῃ μέν ἐστι καλόν, ἔργῳ δὲ ἀπανθρωπότερον. τί γὰρ δὴ μέγα, πρὶν ἀπελθεῖν τοῦ βίου, νεκρὸν εἶναι σώφρονα; στεφάνωσαι, πρὶν ὅλως ἀπανθεῖν, καὶ χρίσαι, πρὶν σαπῆναι, καὶ κτῆσαι φίλους, πρὶν ἔρημον γενέσθαι. καλὸν νυκτὶ προλαβεῖν τὴν νύκτα ἐκείνην, πρὶν διψῆν, πιεῖν, πρὶν πεινῆν, φαγεῖν. ποίαν δοκεῖς ἡμέραν σεαυτοῦ; τὴν χθές; τέθνηκας. τὴν τήμερον; οὐκ ἔστι. τὴν ἐπιοῦσαν; οὐκ οἶδα, εἰ παρέσται σοι· καὶ σὺ κἀκεῖνα τῆς τύχης.

1. ἄθος. U. 3. γνώμῃ. C, B. γνώμων. E. 4. ἀποπίης. U. ib. καταλιπόμενον. U. ib. ἥδιον δὲ καὶ τοῦ. EB.
LXI. γυναικί. C, EB.
11. ποῦ τετμ. om. γ, d. ib. ὅπως — ὅπως. B.
LXII. τῇ αὐτῇ. γ, 2, EB. γυναικί. U.
13. καὶ τὰς θ. U. τὰς θ. ς. 15. μὴ κ. δὲ. U. ib. μὴ δὲ. B. 18. οὐδὲ ἐν πολέμῳ π..... παρανομεῖται. γ. 21. ἀγνοοῦσα. U. ib. post ὡς lacuna in C, E. Exciderit: σὺ φιλεῖς ἐμέ. Ibidem transpone ὡς καὶ.
LXIII. γυναικί. C, EB.
20. οὖσα χρέως. b. ib. ἀπέθανεν. b. ἀπέβαλεν. ς. ἀπέλαβεν. B. Sc. ἀπέλαυεν. 21. εἰκὸς πιόντα. b. ib. ἀκράτου. U. ib. Malis τῆς σῆς χρωτὸς. ib. δυσηνθῆσαν. b. 22. ἀναβιώσατε. d. 23. ἔτι. U.
LXIV. μειρακίῳ. γ, 2, EB. γυναικί. U.
24. δεῖ. γ et d, ubi corr. 25. φιλ. ἀγρίαν. γ, d. ib. δόξει. U. 26. τοῖς om. o. 27. νεκρὸν εἶναι, σώφρονα στεφανῶσαι. o. 29. ἔρημος. γ, d. ib. διψεῖν. U. 30. τέθνηκας. γ. τέθνηκε. ς. ib. ἢ τὴν τήμερον. γ. 31. εὐχῆς. o.

ξέ. Φοβοῦ δῆμον, παρ' ᾧ πολλὰ δύνασαι.

ξς'. Μεμνήσεσθαί τῶν σῶν λόγων οἴει τοὺς Ἕλληνας, ἐπειδὰν τελευτήσῃς· οἳ δὲ μηδὲν ὄντες, ὁπότε εἰσίν, τίνες ἂν εἶεν, ὁπότε οὐκ εἰσίν;

ξζ'. Τὸν τραγῳδὸν Διοκλέα, εἰ μὲν ἤδη γιγνώσκεις, ἐπαινεῖς δήπου, εἰ δὲ ἀγνοεῖς, ἐν τοῖς καλῶς ἐπαινουμένοις γράφε καὶ γενοῦ περὶ αὐτὸν οἷον εἰκὸς ἢ τὸν πεπεισμένον ἢ τὸν μὴ ἀπιστοῦντα.

ξή. Οἱ ἐρωτικοὶ τῶν ποιητῶν ἀγαθὴ ἀκρόασις καὶ ἐξώροις, ἄγουσι γὰρ αὐτοὺς ἐς ἔννοιαν τοῦ ἐρᾶν ὥσπερ ἀνηβηκότας. μὴ δὴ νόμιζε σαυτὸν ὑπερήμερον τῆς τούτων ἀκροάσεως· ἡ γὰρ ξυνουσία τῶν τοιῶνδε ποιητῶν ἢ οὐκ ἐπιλήσει σε ἀφροδισίων ἢ ἀναμνήσει.

ξθ'. Οἱ τελούμενοι τῇ Ῥέᾳ μαίνονται πληγέντες τὰ ὦτα κτύποις ὀργάνων. ἀλλ' ἐκεῖνα μὲν κυμβάλων καὶ αὐλῶν ἔργα, σὲ δὲ οὕτως ἐκπλήττουσιν Ἀθηναῖοι κροτοῦντες, ὡς ἐκλανθάνεσθαι, τίς εἶ καὶ τίνων γέγονας.

ο'. Ὑπὲρ ὧν ἐπεστείλατε, τὰ μὲν ἤδη γέγονε, τὰ δὲ αὐτίκα ἔσται· ἐγὼ γὰρ Λήμνιος ὢν πατρίδα ἐμαυτοῦ καὶ τὴν Ἴμβρον ἡγοῦμαι, συνάπτων εὐνοίᾳ καὶ τὰς νήσους ἀλλήλαις καὶ ἐμαυτὸν ἀμφοτέραις.

οά. Τὸ ποιητικὸν ἔθνος πολλοὶ καὶ πλείους ἢ οἱ τῶν μελιττῶν ἐσμοί, βόσκουσι δὲ τὰς μὲν λειμῶνες, τοὺς δὲ οἰκίαι καὶ πόλεις, ἀνθεστιῶσί τε αἱ μὲν κηρίοις, οἱ δὲ ὀψοποιίᾳ λαμπρᾷ. εἰσὶ δὲ τῶν ποιητῶν οἱ καὶ τραγήμασιν ἑστιῶντες, τούτους δὲ ἡγώμεθα τοὺς τῶν ἐρωτικῶν ποιητάς, ὧν εἷς καὶ Κέλσος οὗτος ᾠδαῖς παραδεδωκὼς τὸν ἑαυτοῦ βίον, ὥσπερ οἱ χρηστοὶ τέττιγες. ὡς δ' ἂν μὴ δρόσῳ, ἀλλὰ σιτίοις ἀληθινοῖς τραφείη, πεπίστευκά σοι μελήσειν.

οβ'. Οἱ πελαργοὶ τὰς πεπορθημένας πόλεις οὐκ ἐσπέτονται κακῶν πεπαυμένων ἠχῷ φεύγοντες, σὺ δὲ οἰκίαν οἰκεῖς, ἣν αὐτὸς ἐπόρθησας καὶ θεοῖς τοῖς ἐν αὐτῇ θύεις, ὥσπερ οὐκ οὖσιν, ἢ οὔσι μέν, ἐκλελησμένοις δέ, ὅτι καὶ τὰ ἐκείνων ἔχεις.

ογ'. Οὐδὲ ὁ θεσπέσιος Πλάτων τοῖς σοφισταῖς ἐβάσκηνε, κἂν σφόδρα ἐνίοις δοκῇ τοῦτο,

LXV. Ἐπικτήτῳ. EB.
LXVI. Χαρίτωνι. EB.
2. μεμνῆσθαι. φ. ib. ἐπειδὴ. o. 3. ὁπότε εἰσίν. φ. ὁπότε εἰσί. ς.
LXVII. Φιλήμονι. EB.
5. καλῶς ἐπαινουμένοις. φ. ἐπαινουμένοις. ς.
LXVIII. Κτησιδήμῳ. φ, B. μειρακίῳ. E.
6. εἰς ἔννοιαν. φ. 7. ὑπερήμενον. g, m.
LXIX. Ἐπικτήτῳ. EB.
10. αὐλῶν. φ. αὐλοῦ. EB.
LXX. Κλεοφῶντι καὶ Γαΐῳ. EB.
12. ἐπεστείλατε. φ. ἐπέσταλται. ς. ib. Λῆμνον μὲν πατρίδα ἐμαυτοῦ καὶ τὴν Ἴμβρον ἡγοῦμαι. φ. Λήμνιος ὢν πατρίδα ἐμ. κ. τ. Ἴ. νομίζω. EB.
LXXI. Πλειστάρετιανῷ. φ. Λίρετιανῷ. EB.
15. πολὺ. φ. 16. οἱ μὲν. ς. Sc. αἱ μὲν. 17. ἡγούμεθα. φ. 19. σιτίοις ἀληθινοῖς. φ. σιτίοις. EB.
LXII. Ἀντωνίνῳ. EB.
21. οἰκοῦσιν. e. οὐκ οὖσιν. φ et o ex conj. B. ib. ἐκλελησμένοις. a, g.
LXIII. Ἰουλίᾳ Σεβαστῇ. EB.
24. εἰ καὶ J ad Im. 285. καὶ. B. κἂν. m, o. ib. δοκεῖ. EB.

ἀλλὰ φιλοτίμως πρὸς αὐτοὺς εἶχεν, ἐπειδὴ διεφοίτων θέλγοντες μικράς τε καὶ μείζους πόλεις τὸν Ὀρφέως καὶ Θαμύρου τρόπον, τοῦ δὲ βασκαίνειν ἀπέσχε τοσοῦτον, ὅσον φιλοτιμία φθόνου· φθόνος μὲν γὰρ τρέφει τὰς μοχθηρὰς φύσεις, φιλοτιμία δὲ τὰς λαμπρὰς ἐγείρει, καὶ βασκαίνει μέν τις τὰ μὴ ἑαυτῷ ἐφικτά, ἃ δὲ ἄμεινον ἢ μὴ χεῖρον διαθήσεται, φιλοτιμεῖται πρὸς ταῦτα. ὁ γοῦν Πλάτων καὶ ἐς τὰς ἰδέας τῶν σοφιστῶν ἴεται καὶ οὔτε τῷ Γοργίᾳ παρίησι τὸ ἑαυτοῦ ἄμεινον γοργιάζειν πολλά τε κατὰ τὴν Ἱππίου καὶ Πρωταγόρου ἠχὼ φθέγγεται. ζηλωταὶ δὲ ἐγένοντο ἄλλοι μὲν ἄλλων, καὶ γὰρ δὴ καὶ ὁ τοῦ Γρύλλου φιλοτιμεῖται πρὸς τὸν τοῦ Προδίκου Ἡρακλέα, ὁπότε ὁ Πρόδικος τὴν κακίαν καὶ τὴν ἀρετὴν ἄγει παρὰ τὸν Ἡρακλέα καλούσας αὐτὸν ἐς βίου αἵρεσιν, Γοργίου δὲ θαυμασταὶ ἦσαν ἄριστοί τε καὶ πλεῖστοι· πρῶτον μὲν οἱ κατὰ Θετταλίαν Ἕλληνες, παρ' οἷς τὸ ῥητορεύειν γοργιάζειν ἐπωνυμίαν ἔσχεν, εἶτα τὸ ξύμπαν Ἑλληνικόν, ἐν οἷς Ὀλυμπίασι διελέχθη κατὰ τῶν βαρβάρων ἀπὸ τῆς τοῦ νεὼ βαλβῖδος. λέγεται δὲ καὶ Ἀσπασία ἡ Μιλησία τὴν τοῦ Περικλέους γλῶτταν κατὰ τὸν Γοργίαν θῆξαι, Κριτίας δὲ καὶ Θουκυδίδης οὐκ ἀγνοοῦνται τὸ μεγαλόγνωμον καὶ τὴν ὀφρὺν παρ' αὐτοῦ κεκτημένοι, μεταποιοῦντες δὲ αὐτὸ ἐς τὸ οἰκεῖον ὁ μὲν ὑπ' εὐγλωττίας, ὁ δὲ ὑπὸ ῥώμης. καὶ Αἰσχίνης δὲ ὁ ἀπὸ τοῦ Σωκράτους, ὑπὲρ οὗ πρώην ἐσπούδαζες ὡς οὐκ ἀφανῶς τοὺς διαλόγους κολάζοντος, οὐκ ὤκνει γοργιάζειν ἐν τῷ περὶ τῆς Θαργηλίας λόγῳ, φησὶ γάρ που ὧδε· „Θαργηλία ἐλθοῦσα εἰς Θετταλίαν ξυνῆν Ἀντιόχῳ Θετταλῷ βασιλεύοντι πάντων Θετταλῶν." αἱ δὲ ἀποστάσεις αἵ τε προσβολαὶ τῶν λόγων Γοργίου ἐπεχωρίαζον πολλαχοῦ μέν, μάλιστα δὲ ἐν τῷ τῶν ἐποποιῶν κύκλῳ. πεῖθε δὴ καὶ σύ, ὦ βασίλεια, τὸν θαρσαλεώτερον τοῦ Ἑλληνικοῦ Πλούταρχον μὴ ἄχθεσθαι τοῖς σοφισταῖς, μηδὲ ἐς διαβολὰς καθίστασθαι τοῦ Γοργίου. εἰ δὲ οὐ πείθεις, σὺ μέν, οἷα σου σοφία καὶ μῆτις, οἶσθα, τί χρὴ ὄνομα θέσθαι τῷ τοιῷδε, ἐγὼ δὲ εἰπεῖν ἔχων οὐκ ἔχω.

I.

Τὸν ἐπιστολικὸν χαρακτῆρα τοῦ λόγου μετὰ τοὺς παλαιοὺς ἄριστά μοι δοκοῦσι διεσκέφθαι φιλοσόφων μὲν ὁ Τυανεὺς καὶ Δίων, στρατηγῶν δὲ Βροῦτος ἢ ὅτῳ Βροῦτος ἐς τὸ ἐπιστέλλειν ἐχρῆτο, βασιλέων δὲ ὁ θεσπέσιος Μάρκος, ἐν οἷς ἐπέστελλεν αὐτός, πρὸς γὰρ τῷ κεκριμένῳ τοῦ λόγου καὶ τὸ ἑδραῖον τοῦ ἤθους ἐντετύπωτο τοῖς γράμμασι, ῥητόρων δὲ ἄριστα μὲν Ἡρώδης ὁ Ἀθηναῖος ἐπέστελλεν, ὑπεραττικίζων δὲ καὶ ὑπερλαλῶν ἐκπίπτει πολλαχοῦ τοῦ πρέποντος ἐπιστολῇ χαρακτῆρος. δεῖ γὰρ φαίνεσθαι τῶν ἐπιστολῶν τὴν ἰδέαν ἀττικωτέραν μὲν συνηθείας, συνηθεστέραν δὲ ἀττικίσεως καὶ συγκεῖσθαι μὲν πολιτικῶς, τοῦ δὲ ἄβρου μὴ ἀπᾴδειν. ἐχέτω δὲ τὸ εὔσχημον ἐν τῷ μὴ ἐσχηματίσθαι, εἰ γὰρ σχηματιοῦμεν, φιλοτιμεῖσθαι δόξομεν, φιλοτιμία δὲ ἐν ἐπιστολῇ μειρακιῶδες. κύκλον δὲ ἀποτορνεύειν ἐν μὲν ταῖς βραχυτέραις τῶν ἐπιστολῶν ξυγχωρῶ, ἵνα τούτῳ γοῦν ἡ βραχυλογία ὡραίζοιτο ἐς ἄλλην ἠχὼ πᾶσα στενὴ οὖσα, τῶν δὲ ἐς μῆκος προηγμένων ἐπι-

5. ἴεται. J. 11. βαλβίδος. E. 13. ὀφρῦν. EB. 17. εἴτε. EB. αἵ τε. J. 20. οἷα σου. J et inde B. οἷά που. E.

22. δοκοῦσι διεσκέφθαι. P, p, b, v, B. διεσκέφθαι δοκοῦσι. ς. 23. ὁ Βροῦτος. φ. ib. ἐς τὸ om. v. ib. εἰς. φ. ib. ἐχρήσατο. P, p, b, v. 24. ἐν οἷς — γράμμασιν om. P, p, b, d, v. ib. ἐπέστελλεν αὐτὸς. φ. αὐτὸς ἐπέστελλεν. EB. 25. ἐντετύπωτο. φ. ἐντετύπωται. ς. 27. τῶν ἐπιστολῶν τὴν ἰδέαν. φ. τὴν τῶν ἐπιστολῶν ἰδέαν. ς. ib. ἀττικεστέραν. E. 28. ἀττικήσεως. p, v. ib. μὴ δὲ. d. ib. ἀπαύδειν. m, o, corr. J ad Im. 591. Et est ἀπᾴδειν in C, a. ib. ἐχέτω δὲ. φ. ib. τὸ om. d. 29. μὴ om. p. ib. ἐσχιματίσθαι. P, p. 30. μειρακιώδης. P et p ex corr. ib. ξυγχωρῶ. φ. ib. τούτῳ om. b. 31. ὡραίζηται. P. ὡραίζεται. p, b, v. ib. εἰς. P, p. ib. ἠχὼ om. b, et p, v cum lac. ib. προηγμένων. E. προηγουμένων. φ. παρηγμένων. P, 2, b, d, v.

I = I. p. 916.

στολῶν ἐξαιρεῖν χρὴ κύκλους, ἀγωνιστικώτερον γὰρ ἢ κατὰ ἐπιστολὴν τοῦτο, πλὴν εἰ μή που ἐπὶ τελευτῆς τῶν ἐπεσταλμένων ἢ ξυλλαβεῖν δέοι τὰ προειρημένα ἢ ξυγκλεῖσαι τὸ ἐπὶ πᾶσι νόημα. σαφήνεια δὲ ἀγαθὴ μὲν ἡγεμὼν ἅπαντος λόγου, μάλιστα δὲ ἐπιστολῆς· καὶ γὰρ διδόντες καὶ δεόμενοι καὶ ξυγχωροῦντες καὶ μὴ καὶ καθαπτόμενοι καὶ ἀπολογούμενοι καὶ ἐρῶντες ῥᾷον πείσομεν, ἢν σαφῶς ἑρμηνεύσωμεν· σαφῶς δὲ ἑρμηνεύσομεν καὶ ἔξω εὐτελείας, ἢν τῶν νοηθέντων τὰ μὲν κοινὰ καινῶς φράσωμεν, τὰ δὲ καινὰ κοινῶς.

II.

Οἱ τὸν νόμον τῇ φύσει ἀνθομοιοῦντες ἀντικεῖσθαι μὲν ταῦτά φασιν ἀλλήλοις, καθάπερ τὸ λευκὸν τῷ μέλανι καὶ τὸ μανὸν τῷ πυκνῷ καὶ τὸ μελιχρὸν τῷ πικρῷ καὶ τὸ ψυχρὸν τῷ θάλποντι, εἶναι δὲ φύσεως μὲν ἔργα ζῷα καὶ ἄστρα καὶ ποταμοὺς καὶ ὕδας καὶ πεδία καὶ ἰσθμοὺς καὶ πορθμοὺς καὶ καθάπαξ τὸ ὑπὲρ τέχνην, νόμου δὲ ἔργα τείχη καὶ νεώσοικοι καὶ ναῦς καὶ ἀσπὶς καὶ λήια καὶ πᾶν τὸ ὑπὸ χεῖρα, καὶ τὰ μὲν τῆς φύσεως ἄφθαρτα εἶναι τὸν ἀεὶ χρόνον τήν τε θάλατταν μένειν, ὁπόση ἐγένετο, καὶ τὴν γῆν, ὁπόση ὡρίσθη, καὶ τὸν αἰθέρα, ὡς ἔφυ, ἄστρα τε καὶ ὥρας, ὡς ἐκείνων κύκλος, καὶ τὸ ἐπὶ ζῷα δὲ αὐτῆς ἧκον φθείρεσθαι μὲν αὐτὰ τὰ τικτόμενα, τὸ δὲ ἀεὶ τίκτον παρέχειν τῇ φύσει τὸν τοῦ ἀκηράτου λόγον, τὰ δὲ τοῦ νόμου φθαρτά τε εἶναι καὶ ἁλωτά, τείχη τε γὰρ καὶ ἱερὰ τὰ μὲν ἁλίσκεσθαι, τὰ δὲ φθείρεσθαι σὺν χρόνῳ, οἰκίαν δὲ τὴν εὖ κατεσκευασμένην δῆλον εἶναι, ὅτι οὐκ ἀεὶ ἑστήξει καὶ τὸ ναυπηγηθὲν οὐκ εἶναι βέβαιον ὅτι μηδ' ἡ θάλασσα βεβαία ἀνθρώποις, τεκτονικήν τε καὶ χαλκευτικὴν πᾶσαν φθαρτὰ ἐργάζεσθαι τῷ νόμῳ, καὶ τὸν μὲν νόμον οὐκ ἂν δημιουργῆσαι ζῷον ἔμψυχον οὐδέν, οὐδ' ἄστρον, οὐδ' αἰθέρα, οὐδ' ἄλλο τι τῶν ὧδε θεσπεσίων καὶ μεγάλων, τὴν φύσιν δὲ ὁμοιοῦσθαι πολλαχοῦ τοῖς τοῦ νόμου εἴδεσι, χωρία τε γὰρ ὀχυροῦν τείχεσιν ἀσφαλεστέροις τῶν ποιηθέντων ἄντρα τε κισσηρεφῆ κατανοήσαι ἡδίω οἴκων καί που καὶ ἄγαλμα διδόναι πέτρᾳ συμφυὲς σατυρικόν τι ἢ Πανὶ ὅμοιον ὄρη τε καὶ σκοπιὰς ὁμοιοῦν ζῳοῖς, οἷον τῆς αὐτῆς ὁ ἐν Λήμνῳ δράκων καὶ ὁ ἐν Κρήτῃ λέων καὶ ἡ βούκρανος ἡ πρὸς Χίῳ, ἀγαλματοποιούσης τε κατὰ τὸν νόμον καὶ τὰς νεφέλας ἐς εἴδη ζῴων ἀγούσης, βλέψαντι γοῦν ἐς αὐτὰς λύκοις τε ὁμοιοῦνται καὶ παρδάλεσι καὶ κενταύροις καὶ ἅρμασι, καὶ οὐδὲ ὁ κύκλος τῆς σελήνης ἄσημος, ἀλλὰ κἀκείνῳ τι ἐντετύπωται πρόσωπον οἷον γραφῆς ἀρρήτου· ἐμοὶ δὲ νόμος καὶ φύσις οὐ μόνον οὐκ ἐναντίω φαίνεσθον, ἀλλὰ καὶ ξυγγενεστάτω καὶ ὁμοίω καὶ διήκοντε ἀλλήλοιν· νόμος τε γὰρ παριτητέος ἐς φύσιν καὶ φύσις ἐς νόμον καὶ καλοῦμεν αὐτοῖν τὸ μὲν ἀρχήν, τὸ δ' ἑπόμενον, κεκληρώσθω δὲ ἀρχὴν μὲν φύσις, νόμος δὲ τὸ ἕπεσθαι, οὔτε γὰρ νόμος ἐτειχοποίησεν ἢ ὑπὲρ τείχους ὥπλισεν, εἰ μὴ φύσις ἔδωκεν ἀνθρώπῳ χεῖρας, οὔτ' ἂν ἡ φύσις . . τῶν ἐνεργούντων ἔδειξεν, εἰ μὴ τέχναι ἐνομίσθησαν, ἔδωκέ τε φύσις μὲν νόμῳ θάλασσαν αἰθέρα ἄστρα, νόμος δὲ αὖ φύσει γεωργίαν ναυτιλίαν ἀστρονομίαν καὶ ὀνόματα κεῖσθαι ταῖς ὥραις, ἄργυρόν τε καὶ χρυσὸν καὶ ἀδάμαντα καὶ μάργαρον καὶ τὰ ὧδε σπανιστὰ φύσις μὲν εὗρε,

1. ἐξαίρειν. C, E. ἐξαιρεῖν. B ut olim correxi. ib. τοὺς κύκλους. P, p, b, d, v. ib. γὰρ om. b. ib. κατὰ ἐπ. P, p, B. κατ' ἐπ. ς. ib. τοῦτο — τὰ om. b, et p, v, ubi ἢ κατὰ τὰ ἐπεσταλμένα ἢ ξυγκεῖσθαι (ἐξογκᾶσθαι. v.) τὸ ἐπὶ πᾶσι legitur med. om. ib. μήπου. P, d, B. μή πω. ς. 2. ἢ ξυμβαλεῖν δέοι τὰ ἐπεσταλμένα ἢ συγκλ. P. 4. συγχωροῦντες. P. ib. καὶ μὴ καθαπτ. P, p, b, d. ib. ἐρῶντες. P, p, d, B. ib. εἰ. P, p, v, B. 5. ἑρμηνεύσομεν. g, m, o. ib. σαφ. δὲ ἑρμ. om. P, p, b, d, v. 6. κοινὰ κοινῶς — καινὰ καινῶς. φ. ib. καινῶς φράσωμεν, τὰ δὲ κτέ. P, p, b, d, v, B. (φράζωμεν. d, v, E.) καινῶς, τὰ δὲ κ. κ. φράζωμεν. ς.

13. αὐτῆς εἶναι. o. 14. Fo. χρόνῳ ἁλωτά. 15. τὴν om. o. 16. καὶ εἰ ἐστίξει. p, u, o. ὅτι οὐκ ἀεὶ ἐστήξει. B ex conj. o. ib. ὅτε malit B. 21. πάνυ. o. 22. τῆς deleverim. 27. ἀλλήλοις. o. ib. τε om. o. ib. παραιτητέος. p, B. παριτητέος. o. 29. ἄνω χέρας. p, u. ἄνω χεῖρας. B, qui conj. ἀνθρώπῳ. 30. τι excidisse videtur.

II apud Ol. 912. et B. IX.

νόμος δ' ἐτίμησε. περιωπήσαις δ' ἂν καὶ τὰ ἀνθρώπου ὁμοίως ἔχοντα· φύσις μὲν ἔννουν δημιουργεῖ τὸν ἄνθρωπον καὶ λογικὸν καὶ εὐφυᾶ πάντα, νόμος δὲ παιδεύει καὶ ὁπλίζει καὶ ὑποδεῖ καὶ ἀμφιέννυσιν, ἐπειδὴ γυμνὸς αὐτῷ παρὰ τῆς φύσεως πέμπεται, προτίθησι δὲ ὁ νόμος καὶ ἀρετῆς ἆθλα ἀνθρώποις, οἷον τιμῶν τὴν φύσιν. καὶ μὴ τὸν νόμον ἀφαιρώμεθα τὸν τοῦ ἀθανάτου λόγον, καὶ γὰρ εἰ καὶ φθαρτὰ ἐργάζεται, ἀλλ' ἀθάνατά γε αὐτὰ ποιεῖ, ὄνομα δὲ αὐτῷ τέχνη. ἠπείρου δὲ ἀπορραγεῖσα νῆσος καὶ νήσῳ ξυμβαλοῦσα ἤπειρος καὶ Πηνειὸς Ὀλύμπου διεκπεσὼν οὐ φύσεως ταῦτα οὐδὲ νόμου ἔργα· ἔστι τι ἀμφοῖν μέσον, ὃ καλεῖται συμβεβηκός, ὑφ' οὗ ὁ νόμος ὁμοιοῦται φύσει καὶ φύσις μεταβάλλει ἐς νόμον.

1. περιωπήσοις. C, E. 5. τάγε. o. ib. ἀπορρωγεῖσα. o. 7. τῇ φύσει. o.